L. gr.
157
md(4

L. gr. 157 md [4]

Jacobs

Anat. Gr. Vet. Coll. 20. p. 64.

BIBLIOTHECA
REGIA
MONACENSIS.

<366082978100l7

<366082978100l7

Bayer. Staatsbibliothek

Poetische

Blumenlese

aus

griechischen Dichtern verschiedener Gattungen

zum

Gebrauche für Schulen

von

Friedrich Jakobs

Königl. Baier. Hofrath etc.

Nebst einem Anhang

von

Friedrich Thiersch

Prof. am Gymn. zu München.

Jena,

bey Friedrich Frommann

1810.

Elementarbuch

der

griechischen Sprache

für

Anfänger und Geübtere

von

Friedrich Jakobs

Königl. Baier. Hofrath etc.

Vierter Theil.

Poetische Blumenlese.

Jena,

bey Friedrich Frommann

1810.

BIBLIOTHECA
REGIA
MONACENSIS.

Die gegenwärtige Sammlung griechischer Gedichte ist als eine Ergänzung meines prosaischen Elementarbuches anzusehn. Sie ist aber auch als ein unabhängiges Ganze zu gebrauchen, und deſshalb mit einem besondern Wortregister versehen worden. Wenn einmal Chrestomathien für den ersten Unterricht in den alten Sprachen gegeben werden sollen, wie es mir zum öffentlichen Unterrichte allerdings nothwendig scheint, so durfte in dem Cyclus derselben ein poetisches Handbuch nicht mangeln.

Es darf nämlich das Lesen der Dichter und die Bekanntschaft mit der poetischen Sprache der Griechen nicht allzu lange verschoben

werden. Vielmehr möchte es besser scheinen, damit anzufangen, als es über Gebühr der Jugend vorzuenthalten, die zu diesen Quellen eilt, und hier am sichersten die Weihe empfängt, die jeder Gebildete aus dem Alterthume empfangen haben soll. Leicht ermüdet die Jugend bey dem Ernste derjenigen Prosaisten, die man ihr in die Hand geben kann; aber begierig und immer von neuem greift sie nach den Dichtern, sobald die ersten Schwierigkeiten des Verständnisses überwunden sind. Dieser so natürlichen und tiefliegenden Neigung mufs man zu Hülfe kommen. Sobald also der grammatische Elementar-Unterricht vollendet ist, kann das Lesen der Dichter anfangen, und der Gebrauch der gegenwärtigen Sammlung kann zugleich mit dem zweyten Cursus des prosaischen Elementarbuches, ja wohl schon bey der Mitte des ersten eintreten.

Es ist aber diese Sammlung nicht für den Gebrauch Eines Jahres bestimmt, sondern meh-

rerer. Sie soll stufenweis die verschiedenen Formen der alten Poesie kennen lehren; daher diese von einander gesondert sind, aber so, dafs jeder Abschnitt mit den leichtesten und kürzesten Stellen anfängt. Diese mögen die Anfänger so lange beschäftigen, bis sie zu den längern und schwerern übergehen können. Denn es ist keineswegs die Meinung, dafs alles in Einer Reihe vom Anfang bis zum Ende gelesen werde; vielmehr soll es der Lehrer als ein Exempelbuch ansehn, aus dem er Beyspiele der verschiedenen Formen der Poesie, der Sylbenmaafse und Dialekte wählen könne, wie es den Jahren und der Fassungkraft seiner jedesmaligen Zöglinge am angemessensten ist. Die letzten Abschnitte aber können auch noch in den Classen benutzt werden, in welchen schon ganze Gedichte — wie die homerischen — erklärt werden. Hier kann diese Sammlung als Begleiterin, in den untern Classen als poetisches Hauptbuch dienen.

Dieser Gebrauch wird auch da Statt finden, wo man den Unterricht in der griechischen Sprache mit dem Lesen ganzer Werke — etwa der Odyssee, die hierzu am tauglichsten ist, — anfangen wollte. Dafs dieses möglich und ausführbar sey, hat mein Freund Friedrich Thiersch durch überzeugende Gründe, und was in solchen Fällen noch mehr ist, durch gelungene Versuche dargethan. Doch kann das, was der Gewandtheit eines vorzüglichen Lehrers und seiner geistreichen Methode gelingt, nicht überall erwartet werden; wo man aber auch glücklich genug wäre, bey der Einrichtung der Schulen auf ein gleiches Maafs von Kenntnissen und Fertigkeiten rechnen zu können, wird dennoch diese Chrestomathie zu dem vorhin berührten Zweck, die verschiedenen Formen der Poesie, Sprache und Behandlung allmählig kennen zu lernen, anzuwenden seyn.

Da nun aber hierbey nicht auf Ein Alter und Eine Classe von Lehrlingen gerechnet ist,

so hat es besser geschienen, in den Anmerkungen die gröfste Sparsamkeit zu beobachten, um nicht Leichteres und Schwereres auf eine zweckwidrige Weise zu mischen. Was in den Sachen einer Erklärung bedurfte, ist in dem Wortregister beygebracht worden, wo auch die schwerern Formen der Wörter erläutert werden. Was die letztern, besonders die homerischen betrifft, so beruht ihre Entwickelung zum Theil auf der Vergleichung vieler Erklärungen, zum Theil auf einer mühsamen Combination, die ihre Vordersätze bis tief in die Formenlehre erstreckt. Was nöthig war, ist nach Form und Bedeutung kurz angeführt. Was darin etwa auffallend seyn möchte, wird an einem andern Orte begründet werden.

Der lyrische Anhang, welchen der vorhin erwähnte Gelehrte — dem auch das Wortregister schätzbare Beyträge verdankt — zu bearbeiten die Gefälligkeit gehabt hat, ist für die höhern Classen der Gymnasien bestimmt, als

Vorbereitung zur Lectüre der Tragiker, und ein Uebungsmittel in der Erklärungskunst. In beyden Rücksichten sind die darinn enthaltenen Stellen mit ausführlichen Anmerkungen begleitet, auch die Sylbenmaafse beygesetzt worden, um zur rechten Zeit in die Kenntniſs der Metrik einzuleiten; ein Gegenstand, mit welchem es, bey dem jetzigen Stande der Philologie, der gebildeten Jugend nicht mehr erlaubt ist unbekannt zu seyn.

München d. 5. September. 1810.

Friedrich Jakobs.

I.

Elegische Denksprüche.

1. Gottesfurcht.

(Theognis v. 173.)

Θεοῖς [1]) εὔχευ, οἷς ἐστι μέγα κράτος, οὔτι ἄτερ
θεῶν [1])
γίγνεται ἀνθρώποις, οὔτ' ἀγάθ', οὔτε κακά.

2. Das Schönste und Beste.

(Theognis v. 249)

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
ἥδιστον δὲ τυχεῖν, οὗ τις ἔκαστος ἐρᾷ.

3. Tugend ohne Eigennutz.

(Theognis v. 457.)

Ἀμφ' ἀρετῇ τρίβευ, καί σοι τὰ δίκαια φίλ' ἔστω,
μηδέ σε νικάτω κέρδος, ὃ γ' αἰσχρὸν ἔοι. [2])

1) wird einsylbig gelesen. 2) εἰμί.

4. Allwissenheit der Götter.

(Theognis v. 145.)

Οὐδείς πω ξεῖνον, Πολυπαίδη, ἐξαπατήσας
οὐδ' ἱκέτην θνητῶν, ἀθανάτους ἔλαθε.

5. Seltenheit der Tugend.

(Theognis v. 151.)

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν·
ἡ δ' ἀρετὴ παύροις ἀνδράσι, Κύρν', ἕπεται.

6. Scheu vor Gott.

(Theognis v. 1133.)

Κύρνε, θεοὺς αἰδέου καὶ δείδιθι· [1]) τοῦτο γὰρ ἄνδρα
εἴργει μήτ' ἔρδειν, μήτε λέγειν ἀσεβῆ.

7. Freundes Treue.

(Theognis v. 1171.)

Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενῆ ἐξαπατῆσαι,
Κύρνε· φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν.

8. Zweyzüngigkeit.

(Theognis v. 829.)

Ζεὺς ἄνδρ' ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

1) δείδω.

9. Verstand und Unverstand.

(Theognis v. 875.)

Γνώμης οὐδὲν ἄμεινον ἀνὴρ ἔχει ἔν γε ἑαυτῷ,
οὐδ' ἀγνωμοσύνης, Κύρν', ἀνιηρότερον.

10. Wandel der Treue.

(Theognis v. 705.)

Εὖ μὲν ἔχοντος ἐμοῦ, πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν
ἐγκύρσῃ, [1]) παῦροι πιστὸν ἔχουσι νόον.

11. Kühnheit und Weisheit.

(Evenus Parius.)

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν, μάλα σύμφορόν ἐστι·
χωρὶς [2]) δέ, βλαβερή, καὶ κακότητα φέρει.

12. Der Zorn.

(Evenus Parius.)

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

13. Der Wein.

(Theognis v. 501.)

Οἶνος πινόμενος πουλύς, κακόν· ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακόν, ἀλλ' ἀγαθόν.

1) ἐγκύρω. 2) i. e. χωρὶς σοφίας ἡ τόλμη ἐστὶ βλαβερά.

14. Macht der Zeit.

(Plato Ep. 19.)

Αἰὼν πάντα φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν
οὔνομα, καὶ μορφήν, καὶ φύσιν, ἠδὲ τύχην.

15. Warnung.

(Lucian. Ep. 33.)

Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας·
οὐ λήσεις δὲ θεοὺς οὐδὲ λογιζόμενος. [1])

16. Wahrer Reichthum.

(Lucian. Ep. 36.)

Πλοῦτος ὁ τῆς ψυχῆς πλοῦτος μόνος ἐστὶν ἀληθής,
τἄλλα δ' ἔχει λύπην πλείονα τῶν ἀγαθῶν.

17. Der gröfste Schatz.

(Anal. III. 241. Ep. 425.)

Θησαυρὸς μέγας ἔσθ' ἀγαθὸς φίλος, Ἡλιόδωρε,
τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.

18. Der Neid.

(Anal. III. 242. Ep. 429.)

Ὁ φθόνος ἐστὶ κάκιστος, ἔχει δέ τι καλὸν ἐν
αὐτῷ·
τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

1) ἄτοπόν τι soil.

19. Die Jagd.

(Anal. III. 236. Ep. 402.)

Θήρη μὲν πολέμου μελέτη, θήρη δὲ διδάσκει
κρυπτὸν ἑλεῖν, [1]) ἐπιόντα μένειν, φεύγοντα διώκειν.

20. Gefälligkeit.

(Anal. III. 238. Ep. 409.)

Ὠκεῖαι χάριτες γλυκερώτεραι· ἢν δὲ βραδύνῃ,
πᾶσα χάρις κενεή, μηδὲ λέγοιτο χάρις.

21. Thätige Freundschaft.

(Theognis v. 957 – 960.)

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ,
χερσίν τε σπεύδοι χρήμασί τ' ἀμφότερα.
μηδὲ παρὰ κρητῆρσι λόγοισιν ἐμὴν φρένα τέρποι,
ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ' ἀγαθόν.

22. Freundschaft im Glück.

(Lucian. Ep. 38.)

Εὖ πράττων, φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι,
καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου.

1) αἱρέω.

ἢν πταίσῃς, οὐδείς ἔτι σοι Φίλος, ἀλλ' ἅμα πάντα
ἐχθρά, Τύχης ῥιπαῖς συμμεταβαλλόμενα.

23. Der falsche Freund.

(Lucian. Ep. 34.)

Οὐδὲν ἐν ἀνθρώποισι Φύσις χαλεπώτερον εὗρεν
ἀνθρώπου καθαρὰν ψευδομένου Φιλίαν·
οὐ γὰρ ἔθ' ὡς ἐχθρὸν προφυλασσόμεθ', ἀλλ' ἀγαπῶντες
ὡς Φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.

24. Seltenheit der Freundschaft.

(Theognis v. 79—82.)

Παύρους εὑρήσεις, Πολυπαίδη, ἄνδρας ἑταίρους,
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,
οἵ τινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
ἶσον [1]) τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.

25. Weiser Genufs.

(Lucian Ep. 28.)

Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε,
ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων,
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

1) ἴσως, οὐχ ἧττον.

26. Dauerhafter Reichthum.

(Solon. fr. XIII.)

Πολλοὶ μὲν πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον
αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

27. Ungleiche Vertheilung der Gaben.

(Theognis v. 691.)

Πολλοὶ πλοῦτον ἔχουσιν ἀϊδρίες· οἱ δὲ τὰ καλὰ
ζητοῦσιν, χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται.
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

28. Unmöglichkeit allen zu gefallen.

(Theognis v. 779—782.)

Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται, οὔτε πέφυκεν,
ὅστις πᾶσιν ἀδὼν δύσεται εἰς Ἀΐδεω·
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἀδεῖν [1]) δύναται.

29. Widerspruch.

(Evenus Parius.)

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως·
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει.

1) ἀνδάνω.

Καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός·
„σοὶ μὲν ταῦτα δοκοῦντ' ἐστίν, ἐμοὶ δὲ τάδε."

30. Ausspruch der Musen.

(Theognis v. 15 — 18.)

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
ἐς γάμον ἐλθοῦσαι, καλὸν ἀείσατ' ἔπος,
„ὅττι καλὸν φίλον ἐστί, τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστί."
τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

31. Schwierige Menschenkenntnifs.

(Theognis v. 1025 — 1028.)

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
γιγνώσκειν χαλεπόν, καίπερ ἐόντι σοφῷ.
Οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

32. Heilsames Mifstrauen.

(Theognis v. 73 — 76.)

Πρῆξιν μηδὲ φίλοισιν ὅμως ἀνακοίνεο πᾶσιν·
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.
παύροισιν πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει,
μήποτ' ἀνήκεστον. Κύρνε, λάβῃς ἀνίην.

33. Aufrichtige Freundschaft oder Feindschaft.

(Lucill. Ep. 122.)

Εἴ με φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδικήσῃς,
ἀρχὴν τοῦ βλάπτειν τὴν φιλίαν θέμενος.
πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρεσσόν᾽ ἀφῆμι
τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίας.
φασὶ δὲ καὶ νήεσσιν ἀλιπλανέεσσι χερείους
τὰς ὑφάλους πέτρας, τῶν φανερῶν σπιλάδων.

34. Benutzung der Jugend.

(Theognis v. 981—986.)

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι· ὅφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχῃ, καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν· [1]) οὐ γὰρ ἀνηβᾷν
δὶς πέλεται πρὸς θεῶν, οὐδὲ λύσις θανάτου
θνητοῖς ἀνθρώποισι· κακὸν δ' ἐπὶ γῆρας ἐπείγει
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης. [2])

35. Abhängigkeit der Sterblichen.

(Theognis v. 135—144.)

Οὐδείς, Κύρν', ἄτης καὶ κέρδεος αἴτιος αὐτός·
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.

1) i. e. τοῖς ἑαυτοῦ κτήμασι χρήσθω. 2) τὰς πολιὰς τρίχας ἐπάγον scil.

οὐδέ τις ἀνθρώπων ἐργάζεται, ἐν Φρεσὶν εἰδώς,[1])
ἐς τέλος εἴτ' ἀγαθὸν γίγνεται, εἴτε κακόν.
πολλάκι γὰρ δοκέων θήσειν κακόν, ἐσθλὸν ἔθηκε·
καί τε δοκῶν θήσειν ἐσθλόν, ἔθηκε κακόν·
οὐδέ τῳ ἀνθρώπων παραγίγνεται, ὅσσ' ἐθέλησιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

36. Kürze des Lebens.

(Simonides.)

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί·
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
„οἵηπερ φύλλων γενεή, τοίηδε καὶ ἀνδρῶν·“[2])
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο·[3]) πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.
Θνητῶν δ' ὅφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμόν, πόλλ' ἀτέλεστα νοεῖ.
Οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασσέμεν, οὔτε θανεῖσθαι,
οὐδ', ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδέ τ' ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

1) st. οὐδεὶς ἀνθρώπων ἐργαζόμενος οἶδεν, τοῦτο ὅ τι ἐργάζεται εἴτε ἐς ἀγαθὸν τέλος γίγνεται, εἴτ' ἐς κακόν.
2) Worte Homers Il. ζ. 146. 3) ἐγκατατίθημι.

37. Hoffnung.

(Theognis v. 1091—1106.)

Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν·
ἄλλοι δ' Οὐλυμπόνδ', ἐκπρολιπόντες, [1]) ἔβαν.
ᾤχετο μὲν Πίστις, μεγάλη θεός· ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη· Χαριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
Ὅρκοι δ' οὐκ ἔτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
οὐκ ἔτι γιγνώσκουσ', οὐδὲ μὲν εὐσεβίας.
ἀλλ' ὄφρα τις ζώῃ καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεούς, [2]) Ἐλπίδα προσμενέτω·
εὐχόμενος δὲ θεοῖσι, καὶ ἀγλαὰ μηρία καίων,
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.

II.

Epigrammatische Gedichte.

---

1. Der langsame Wettläufer.

(Lucill. Ep. 21.)

Ἦν βραδὺς Εὐτυχίδας σταδιοδρόμος, ἀλλ' ἐπὶ δεῖπνον
ἔτρεχεν, ὥστε λέγειν· [3]) Εὐτυχίδας πέτεται.

1) τοὺς ἀνθρώπους scil. 2) wird einsylbig gelesen.
3) τοὺς ἀνθρώπους sc.

2. Rechtfertigung.

(Lucill. Ep. 31.)

Τὰς τρίχας, ὦ Νικύλλα, τινὲς βάπτειν σε λέγουσιν,
ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

3. Der täuschende Spiegel.

(Lucill. Ep. 33.)

Ψευδὲς ἔσοπτρον ἔχει Δημοσθενίς· εἰ γὰρ ἀληθὲς
ἔβλεπεν, οὐκ ἂν ὅλως ἤθελεν αὐτὸ βλέπειν.

4. Gekaufte Reize.

(Lucill. Ep. 34.)

Ἠγοράσας πλοκάμους, φῦκος, μέλι, κηρόν, ὀδόντας·
τῆς αὐτῆς δαπάνης ὄψιν ἂν ἠγόρασας.

5. Der zuverlässige Prophet.

(Lucill. Ep. 45.)

Τῷ πατρί μου τὸν ἀδελφὸν οἱ ἀστρολόγοι μακρόγηρων
πάντες ἐμαντεύσανθ', ὡς ἀφ' ἑνὸς στόματος·
ἀλλ' Ἑρμοκλείδης αὐτὸν μόνος εἶπε πρόμοιρον.
εἶπε δ', ὅτ' αὐτὸν ἔσω νεκρὸν ἐκοπτόμεθα.

6. Der dürftige Reiche.

(Lucill. Ep. 101.)

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος,
ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

7. Der Geizige.

(Lucill. Ep. 103.)

Ποιήσας δαπάνην ἐν ὕπνοις ὁ Φιλάργυρος Ἑρμων
ἑκ περιωδυνίας αὐτὸν ἀπηγχόνισεν. [1])

8. Der Geizige und die Maus.

(Lucill. Ep. 104.)

Μῦν Ἀσκληπιάδης ὁ Φιλάργυρος εἶδεν ἐν οἴκῳ,
καί, τί ποιεῖς, Φησίν, Φίλτατε μῦ, παρ' ἐμοί;
ἠδὺ δ' ὁ μῦς γελάσας, μηδὲν Φίλε, Φησί, Φοβηθῇς,
οὐχὶ τροφῆς παρὰ σοὶ χρῄζομεν, ἀλλὰ μονῆς.

9. Der Träge.

(Lucill. Ep. 108.)

Εἰς Φυλακὴν βληθείς [2]) ποτε Μάρκος ὁ ἀργός,
ἑκουτὶ,
ὀκνῶν ἐξελθεῖν, ὡμολόγησε Φόνον.

1) ἀπαγχονίζω. 2) βάλλω.

10. Auf einen Sänger und Arzt.

(Ammian. Ep. 27.)

Νικήτης ᾄδων τῶν ὠτῶν ἐστιν Ἀπόλλων·[1]
ἢν δὲ ἰατρεύῃ, τῶν θεραπευομένων.

11. Der dürftige Reiche.

(Anal. III. 246. Ep. 449.)

Πλουτεῖν Φασί σε πάντες, ἐγὼ δέ σέ Φημι πένεσθαι.
χρῆσις γὰρ πλούτου μάρτυς, Ἀπολλόφανες.
ἢν μετέχῃς αὐτῶν σύ, σὰ γίνεται· ἢν δὲ Φυλάττῃς
κληρονόμοις, ἀπὸ νῦν γίγνεται ἀλλότρια.

12. Guter Rath dem Häfslichen.

(Lucill. Ep. 19.)

Ῥύγχος ἔχων τοιοῦτον, Ὀλυμπικέ, μήτ' ἐπὶ κρήνην
ἔλθῃς, μήτ' ἐν ὄρει πρός τι διαυγὲς ὕδωρ.
καὶ σὺ γάρ, ὡς Νάρκισσος, ἰδὼν τὸ πρόσωπον ἐναργές,
τεθνήξῃ, μισῶν σαυτὸν ἕως θανάτου.

13. Kluges Mittel.

(Lucian. Ep. 17.)

Ἔσβεσε[2] τὸν λύχνον μῶρος, ψυλλῶν ὑπὸ πολλῶν
δακνόμενος, λέξας, οὐκέτι με βλέπετε.

1) von ἀπόλλυμι abgeleitet. 2) σβέννυμι.

14. Der Geschwätzige.

(Lucian. Ep. 25.)

Εἰπέ μοι εἰρομένῳ, Κυλλήνιε, [1]) πῶς κατέ-
βαινε
Λολλιανοῦ ψυχὴ δῶμα τὸ Περσεφόνης;
Θαῦμα μέν, εἰ σιγῶσα· τυχὸν δέ τι καί σὲ διδά-
σκειν
ἤθελε· Φεῦ κείνου καὶ νέκυν ἀντιάσαι.

15. Guter Rath.

(Lucian. Ep. 10.)

Εἰ ταχὺς εἰς τὸ Φαγεῖν, καὶ πρὸς δρόμον
ἀμβλὺς ὑπάρχεις,
τοῖς ποσί σευ τρῶγε, καὶ τρέχε τῷ στό-
ματι.

16. Der Nüchterne.

(Lucian. Ep. 16.)

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,
τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

17. Der untrügliche Wahrsager.

(Lucill. Ep. 44.)

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθ' ὁ
παλαιστής,
καὶ πένταθλος Ὕλας, καὶ σταδιεὺς Μενεκλῆς,

1) Hermes, der Führer der Schatten in die Unterwelt.

τίς μέλλει νικᾶν αὐτῶν τὸν ἀγῶνα θέλοντες
γνῶναι, κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδών,
πάντες, ἔφη, νικᾶτε. μόνον μή τις σὲ παρέλθῃ
καὶ σὲ καταστρέψῃ, καὶ σὲ παρατροχάσῃ.

18.

(Nicarch. Ep. 14.)

Εἰς Ῥόδον εἰ πλεύσει [1]) τις Ὀλυμπικὸν ἦλθεν ἐρωτῶν
τὸν μάντιν, καὶ πῶς πλεύσεται ἀσφαλέως.
χὠ μάντις, πρῶτον μέν, ἔφη, καινὴν ἔχε τὴν ναῦν,
καὶ μὴ χειμῶνος, τοῦ δὲ θέρους ἀνάγου.
τοῦτο γὰρ ἦν ποιῇς, ἥξεις κἀκεῖσε καὶ ὧδε,
ἢν μὴ πειρατὴς ἐν πελάγει σε λάβῃ.

19. Räthsel.

(Cleobulus der Lindier. Anal. I. 76.)

Εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα· τῶν δὲ ἑκάστῳ
κοῦραι ἑξήκοντα διάνδιχα εἶδος ἔχουσαι.
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι,
ἀθάναται δέ τ' ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι.

20. Εἰς καπνόν.

(Anal. III. 322. Ep. 17.)

Εἰμὶ πατρὸς λευκοῖο μέλαν τέκος, ἄπτερος ὄρνις,
ἄχρι καὶ οὐρανίων ἱπτάμενος νεφελέων·

1) ob er schiffen solle.

κούρας δ' ἀντομένασιν ἀπενθέα δάκρυα τίκτω·
εὐθὺ δὲ γεννηθεὶς λύομαι εἰς ἀέρα.

21. Myrons eherne Kuh.

(Demetrii Ep. 2.)

Ὧδε Μύρων μ' ἔστησε τὸ βοίδιον· οἱ δὲ νομῆες
βάλλουσίν με λίθοις, ὡς ἀπολειπόμενον.

22.

(Anal. III. 195. 218.)

Τὰν βοῦν τάνδε Μύρων, ξεῖν', ἔπλασεν, ἣν ὅδε μόσχος
ὡς ζῶσαν σαίνει μητέρα δερκόμενος.

23.

(Julian. Aegypt. Ep. 16.)

Βουκόλε, ποῖ προθέειν με βιάζεαι, ἴσχεο νύσσων.
οὐ γάρ μοι τέχνη καὶ τόδ' [1]) ὅπασσεν ἔχειν.

24. Der Arme.

(Pallad. Ep. 81.)

Οὐκ ἐμὲ, τὴν πενίην δὲ καθύβρισας· εἰ δὲ καὶ ὁ Ζεὺς
ἦν ἐπὶ γῆς πτωχός, καὐτὸς ἔπασχεν ὕβριν.

1) τὸ θέειν sc.

25.

(Ib. Ep. 82.)

Εἰ πένομαι, τί πάθω; τί με μισεῖς οὐκ ἀδικεῦντα;
πταῖσμα τόδ' ἐστὶ Τύχης, οὐκ ἀδίκημα τρόπων.

26. Das Leben eine Schiffahrt.

(Pallad. Ep. 104.)

Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ
πολλάκι ναυηγῶν πταίομεν οἰκτότερα.
τὴν δὲ Τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
ὡς ἐπὶ τοῦ πελάγους, ἀμφίβολοι πλέομεν·
οἱ μὲν ἐπ' εὐπλοΐῃ, οἱ δ' ἔμπαλιν· ἀλλ' ἅμα πάντες
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

27. Armuth und Freyheit.

(Pallad. Ep. 108.)

Ἐλπίδος οὐδὲ Τύχης ἔτι μοι μέλει, οὐδ' ἀλεγίζω
λοιπὸν τῆς ἀπάτης· ἤλυθον εἰς λιμένα.
Εἰμὶ πενὴς ἄνθρωπος, ἐλευθερίῃ δὲ συνοικῶ·
ὑβριστὴν πενίης πλοῦτον ἀποστρέφομαι.

28. Wünschenswerthe Mittelmäfsigkeit.

(Pallad. Ep. 124.)

Ὁ φθόνος οἰκτιρμοῦ, κατὰ Πίνδαρον, ἐστὶν ἀμείνων.

οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον.
τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν· ἀλλά τις εἴην
μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
ἡ μεσότης γὰρ ἄριστον, ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
κινδύνους ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.

29. Bürde des Lebens.

(Aesopus. Anal. I. 76.)

Πῶς τις ἄνευ θανάτου σε φύγοι, βίε; μυρία γάρ σευ
λυγρά· καὶ οὔτε φυγεῖν εὐμαρές, οὔτε φέρειν.
ἡδέα μὲν γάρ σευ τὰ φύσει καλά, γαῖα, θάλασσα,
ἄστρα, σεληναίης κύκλα καὶ ἠελίου·
τἄλλα δὲ πάντα φόβοι τε καὶ ἄλγεα· κἤν τι πάθῃ τις
ἐσθλόν, ἀμοιβαίην ἐκδέχεται Νέμεσιν.

30. Schiffahrt und Ackerbau.

(Phalaecos Ep. 4.)

Φεῦγε θαλάσσια ἔργα, βοῶν δ' ἐπιβάλλευ ἐχέτλῃ,
εἴ τι τοι ἡδὺ μακρῆς πειρατ' ἰδεῖν βιοτῆς·
ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος· εἰν ἁλὶ δ' οὔπως
εὐμαρὲς εἰς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.

31. Echo an den Wanderer.

(Archias Ep. 15.)

Εὔφημος γλώσσῃ παραμείβεο τὴν λάλον Ἠχώ,
κοὐ λάλον· ἤν τι κλύω, τοῦτ' ἀπαμειβομέ-
νην.
εἰς σὲ γὰρ ὃν σὺ λέγεις, στρέψω λόγον· ἤν δὲ
σιωπᾷς,
σιγήσω· τίς ἐμεῦ γλῶσσα δικαιοτέρη;

32. Der Wanderer an die Eiche.

(Antiphil. Ep. 12.)

Κλῶνες ἀπηόριοι ταναῆς δρυός, εὔσκιον ὕψος
ἀνδράσιν ἄκρητον καῦμα Φυλασσομένοις,
εὐπέταλοι, κεράμων στεγανώτεροι, οἰκία Φατ-
τῶν,
οἰκία τεττίγων, ἔνδιοι ἀκρέμονες,
κήμὲ τὸν ὑμετέρῃσιν ὑποκλινθέντα κόμῃσιν
ῥύσασθ', ἀκτίνων ἠελίου Φυγάδα.

33. Auf ein warmes Bad Eros genannt.

(Marian. Ep. 5.)

Τᾷδ' ὑπὸ τὰς πλατάνους ἀπαλῷ τετρυμένος
ὕπνῳ
εὗδεν Ἔρως, Νύμφης λαμπάδα παρθέμενος· 1)
Νύμφαι δ' ἀλλήλῃσι, τί μέλλομεν; αἴθε δὲ
τούτῳ
σβέσσαμεν, 2) εἶπον, ὁμοῦ πῦρ κραδίης με-
ρόπων.

1) παρατίθημι. 2) σβέννυμι.

λαμπὰς δ' ὡς ἔφλεξε καὶ ὕδατα, θερμὸν ἐκεῖθεν
Νύμφαι Ἐρωτιάδες λουτροχοεῦσιν ὕδωρ.

34. Der Greis dem Pan.

(Macedon. Ep. XXV.)

Δάφνις ὁ συρικτὰς τρομερῷ περὶ γήραϊ κάμνων,
χειρὸς ἀεργηλᾶς τάνδε βαρυνομένας
Πανὶ Φιλαγραύλῳ νομίαν ἀνέθηκα κορύναν,
γήραϊ ποιμενίων παυσάμενος καμάτων.
εἰσέτι γὰρ σύριγγι μελίσδομαι, εἰσέτι φωνὰ
ἄτρομος ἐν τρομερῷ σώματι ναιετάει.
ἀλλὰ λύκοις σίντῃσιν ἀν' οὔρεα μή τις ἐμεῖο
αἰπόλος ἀγγείλῃ γήραος ἀδρανίην.

35. An die Biene.

(Nicias Ep. 7.)

Αἰόλε, ἱμεροθαλὲς ἔαρ φαίνουσα, μέλισσα,
ξουθά, ἐφ' ὡραίοις ἄνθεσι μαινομένα,
χῶρον ἐφ' ἡδύπνοον πωτωμένα, ἔργα τίθεσσο,
ὄφρα τεὸς πλήθῃ κηροπαγὴς θάλαμος.

36. Der Weinstock zu dem Bocke.

(Evenos. Ep. VII.)

Κήν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω,
ὅσσον ἐπισπεῖσαί [1]) σοι, τράγε, θυομένῳ.

1) ἐπισπένδω.

37. Wechsel.

(Plato. Ep. 18.)

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρών, ἧψεν ὃν εὗρε βρόχον.

38. Pan an den Wanderer.

(Anal. III. 203. 260. Ep.)

Τᾷδε κατὰ χλοεροῖο ῥιφεὶς [1]) λειμῶνος, ὁδῖτα,
ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα πόνου,
ἦχί σε καὶ Ζεφύροιο τινασσομένη πίτυς αὔρῃς
θέλξει, τεττίγων εἰσαϊοντα μέλος,
χὠ ποιμὰν ἐν ὄρεσσι μεσαμβρινὸν ἀγχόθι παγᾶς
συρίσδων, [2]) λασίας θάμνῳ ὕπο πλατάνου
καύματ' ὀπωρινοῖο φυγὼν κυνός· ἅλμα δ' ἀμείψεις
αὔριον· εὖ τόδε σοι Πανὶ λέγοντι πίθου.

39. Gebet an die Artemis.

(Theognis v. 11 — 14.)

Ἄρτεμι θηροφόνε, θύγατερ Διύς, ἣν Ἀγαμέμνων
εἴσαθ', [3]) ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοῇς,
εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε.
σοὶ μὲν τοῦτο, θεά, σμικρόν, ἐμοὶ δὲ μέγα.

1) ῥίπτω. 2) i. e. συρίζων. 3) ἕω.

40. Auf ein anmuthiges Bad.

(Anal. III. 230. Ep. 324.)

Αἱ Χάριτες λούσαντο· ἀμειψάμεναι δὲ λοετρὸν
δῶκαν ἑῶν ῥεθέων ὕδασιν ἀγλαΐην.

41. Wechsel des Besitzes.

(Anal. III. 238. Ep. 410.)

Ἀγρὸς Ἀχαιμενίδεω γενόμην ποτέ, νῦν δὲ Μενίππου·
καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
καὶ γὰρ κεῖνος ἔχειν μέ ποτ' ᾤετο, καὶ πάλιν οὗτος
οἴεται· εἰμὶ δ' ὅλως οὐδενός, ἀλλὰ Τύχης.

42. Die Quelle an den Wanderer.

(Anal. III. 227. Ep. 363.)

Ἄενάον καθαρήν τε παρερχομένοισιν ὁδίταις
πηγὴν ἀμβλύζει γειτονέουσα νάπη.
πάντη δὲ πλατάνοισι καὶ ἱμεροθάλλεσι δάφνης
ἔστεμμαι, [1]) σκιερῇ ψυχομένη κλισίῃ·
τοὔνεκα μή με θέρευς παραμείβεο· δίψαν ἀλαλκὼν
ἄμπαυσον [2]) παρ' ἐμοὶ καὶ κόπον ἡσυχίῃ.

43. Die Spartanische Mutter.

(Erycius. Ep. 8.)

Ἀνίκ' ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μάτηρ,

1) στίφω. 2) ἀναπαύω.

πάντα τὸν ὁπλιστὰν κόσμον ὀλωλεκότα,[1])
αὐτά τοι Φονίαν, Δαμάτριε, αὐτίκα λόγχαν
εἶπε διὰ πλατέων ὠσαμένα[2]) λαγόνων·
κάτθανε, μηδ' ἐχέτω Σπάρτα ψόγον· οὐ γὰρ ἐκείνα
ἤμπλακεν, εἰ δειλοὺς τοὺμὸν ἔθρεψε γάλα.

44. Die Spartanische Mutter.

(Anal. III. 247. Ep. 455.)

Γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο
παῖδ' ἐὸν ἐς πάτραν ὠκὺν ἰέντα πόδα,
ἀντίη ἀϊξασα δι' ἤπατος ἤλασε λόγχαν,
ἀῤῥένα ῥηξαμένη φθόγγον ἐπὶ κταμένῳ·
Ἀλλότριον Σπάρτας, εἶπεν, γένος, ἔῤῥε ποθ' Ἅδαν,
ἔῤῥ', ἐπεὶ ἐψεύσω πατρίδα καὶ γενέταν.

45. Verwünschung.

(Pollian. Ep. 2.)

Εἰσὶ καὶ ἐν Μούσῃσιν Ἐριννύες, αἵ σε ποιεῦσιν
ποιητήν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
τοίνυν σοῦ δέομαι γράφε πλείονα· μείζονα γάρ σοι
εὔξασθαι ταύτης οὐ δύναμαι μανίαν.

1) ὄλλυμι. 2) ὠθέω.

46. Zeus des Phidias zu Olympia.

(Philipp. Ep. 48.)

Ἦ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ, εἰκόνα δείξων,
Φειδία, ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος.

47. Bild Aphroditens am Meere.

(Anyte Ep. 5.)

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ Φίλον ἔπλετο [1])
τήνᾳ
αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρῆν [2]) πέλαγος,
ὄφρα Φίλου ναύτῃσι τελῇ πλόον· ἀμφὶ δὲ πόντος
δειμαίνει, λιπαρὸν δερκόμενος ξόανον.

48. Herkules an den Wandrer.

(Anal. III. 212. Ep. 290.)

Μὴ τρέσσῃς ὅτι τόξον, ὁδοιπόρε, καὶ νεοθηγεῖς
ἰοὺς γυμνώσας, πρόσθε ποδῶν ἐθέμην,
μηδ' ὅτι βαστάζω ῥόπαλον χερί, μηδ' ὅτι δέρμα
ἀμφ' ὤμοις χαροποῦ τοῦτο λέοντος ἔχω.
πημαίνειν οὐ πάντας ἐπίσταμαι, ἀλλὰ κακούργους.
καὶ σώζειν ἀγαθοὺς ἐξ ἀχέων δύναμαι.

1) πέλομαι. 2) i. e. ὁρᾶν.

49. Kampf des Herkules und Antäos.

(Diotimos Ep. 5.)

Τὰν ἦβαν ἐς ἄεθλα πάλας ἤσκησε κραταιᾶς
ἄδε Ποσειδῶνος, καὶ Διὸς ἁ γενεά.
κεῖται δέ σφιν ἀγὼν οὐ χαλκέου ἀμφὶ λέβητος,
ἀλλ' ὅστις ζωὰν οἴσεται [1]) ἢ θάνατον.
Ἀνταίου τὸ πτῶμα· πρέπει δ' Ἡρακλέα νικᾶν
τὸν Διός· Ἀργείων ἁ πάλα, οὐ Λιβύων.

50. Bild des mit Antäos kämpfenden Herkules.

(Anal. III. p. 210. Ep. 284.)

Χαλκὸν ἀποιμώζοντα τίς ἔπλασε; τίς δ' ὑπὸ τέχνας
καὶ πόνον ἐν μορφᾷ καὶ θράσος εἰργάσατο;
ἔμψυχον τὸ πλάσμα, καὶ οἰκτείρω μογέοντα,
καὶ φρίσσω προσορῶν τὸν θρασὺν Ἡρακλέην.
Ἀνταῖον γὰρ ἔχει πεπονημένον ἐκ παλαμάων·
ἰδνωθεὶς δὲ δοκεῖ καὶ στοναχὰν ἰέναι.

51. Die sieben Weisen.

(Antipatri Sidon. Ep. 60.)

Ἑπτὰ σοφῶν, Κλεόβουλε, σὲ μὲν τεκνώσατο Λίνδος·
φατὶ δὲ Σισυφία χθὼν Περίανδρον ἔχειν.

1) φέρω.

Πιττακὸν ἀ Μιτυλάνα· Βίαντα δὲ δῖα Πριήνη·
Μίλητος δὲ Θαλῆν, ἄνδρων ἔρεισμα Δίκας·
ἀ Σπάρτα Χίλωνα· Σόλωνα δὲ Κεκροπὶς αἶα·
πάντας ἀριζάλου σωφροσύνας φύλακας.

52. Die lyrischen Dichterinnen.

(Antipatri Thessal. Ep. 23.)

Τάσδε θεογλώσσους Ἑλικὼν ἔθρεψε γυναῖκας
ὕμνοις, καὶ Μακεδὼν Πιερίας σκόπελος,
Πρήξιλλαν, Μυρώ, Ἀνύτης στόμα, θῆλυν Ὅμηρον,
Λεσβιάδων Σαπφὼ κόσμον ἐϋπλοκάμων,
Ἤριννάν, Τελέσιλλαν ἀγακλέα, καὶ σὲ, Κόρινν᾽,
θοῦριν Ἀθηναίης ἀσπίδα μελψαμένην,
Νοσσίδα θηλύγλωσσον, ἰδὲ γλυκυαχέα Μύρτιν,
πάσας ἀενάων ἐργάτιδας σελίδων.
ἐννέα μὲν Μούσας μέγας Οὐρανός, ἐννέα δ᾽ αὐτὰς
Γαῖα τέκεν, θνατοῖς ἄφθιτον εὐφροσύναν.

53. Homers wahres Vaterland.

(Anal. III. 254. Ep. 487.)

Οὐχὶ πέδον Σμύρνης ἐλοχεύσατο θεῖον Ὅμηρον,
οὐ Κολοφών, τρυφερῆς ἄστρον Ἰηονίης,
Οὐ Χίος, οὐκ Αἴγυπτος ἐϋσπορος, οὐ Κύπρος ἁγνή,
οὐ νῆσος κραναὴ Λαρτιάδαο πάτρη.

οὐκ Ἄργος Δαναοῖο, κυκλωπείη τε Μυκήνη,
οὐδὲ τὸ Κεκροπίων ἄστυ παλαιογόνων.
Οὐ γὰρ ἔφυ χθονὸς ἔργον· ἀπ' αἰθέρος ἀλλά ἑ Μοῦσαι
πέμψαν, ἵν' ἠμερίοις δῶρα ποθητὰ φέροι.

54. Die Gedichte Homers.

(Antiphil. Ep. 11.)

α. Αἱ βίβλοι, τίνες ἐστέ; τί κεύθετε; β. Θυγατέρες μὲν
Μαιονίδεω, μύθων δ' ἵστορες Ἰλιακῶν.
ἁ μία μὲν μηνιθμὸν Ἀχιλλέος, ἔργα δὲ χειρῶν
Ἑκτορέαν δεκέτεος τ' ἆθλα λέγει πολέμου.
ἁ δ' ἑτέρα μόχθον τὸν Ὀδυσσέος, ἀμφί τε λέκτροις
χηρείοις ἀγαθᾶς δάκρυα Πηνελόπας.
α. ἴλατε σὺν Μούσαισι· μεθ' ὑμετέρας γὰρ ἀοιδὰς
εἶπεν ἔχειν Ἑλικὼν ἔνδεκα Πιερίδας.

55. Homers Vergötterung in Argos.

(Anal. III. p. 256. Ep. 497.)

Θεῖος Ὅμηρος ὅδ' ἐστίν, ὅς Ἑλλάδα τὴν μεγάλαυχον
πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ,
ἕξοχα δ' Ἀργείους, οἳ τὴν θεοτείχεα Τροίην
ἤρειψαν, ποινὴν ἠϋκόμου Ἑλένης·
οὗ χάριν ἔστησεν δῆμος μεγαλόπτολις αὐτὸν
ἐνθάδε, καὶ τιμῇς ἀμφέπει ἀθανάτων.

56. Homeros Grab.

(Alcaei Messen. Ep. 7.)

Ἡρώων τὸν ἀοιδὸν Ἴω ἔνι παῖδες Ὅμηρον
ἤκαχον, ἐκ Μουσέων γρῖφον ὑφηνάμενοι.
νέκταρι δ' εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο,
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι,
ὅττι Θέτιν κύδηνε καὶ υἱέα, καὶ μόθον ἄλλων
ἡρώων, Ἰθάκοῦ τ' ἔργματα Λαρτιάδεω,
ὀλβίστη νήσων πόντῳ Ἴος, ὅττι κέκευθε
βαιὴ Μουσάων ἀστέρα καὶ Χαρίτων.

57. Aeschylos Grabschrift.

(Aeschylos. Ep. II.)

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

58. Hesiodos Grab.

(Alcaei Messen. Ep. 17.)

Λοκρίδος ἐν νέμεϊ σκιερῷ νέκυν Ἡσιόδοιο
Νύμφαι κρηνιάδων λοῦσαν ἀπὸ σφετέρων,
καὶ τάφον ὑψώσαντο· γάλακτι δὲ ποιμένες αἰγῶν
ἔῤῥαναν, ξανθῷ μιξάμενοι μέλιτι.
τοίην γὰρ καὶ γῆρυν ἀπέπνεεν, ἐννέα Μουσέων
ὁ πρέσβυς καθαρῶν γευσάμενος λιβάδων.

59. Sappho.

(Anal. T. II. p. 288.)

Ὀστέα μὲν καὶ κωφὸν ἔχει τάφος οὔνομα Σαπφοῦς·
αἱ δὲ σοφαὶ κείνης ῥήσιες ἀθάνατοι.

60. Diogenes der Cyniker.

(Anal. III. 268. Ep. 268.)

α. Εἰπέ, κύον, τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις;
β. τοῦ Κυνός. α. ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ Κύων;
β. Διογένης. α. γένος εἰπέ. β. Σινωπεύς. α. ὃς πίθου ᾤκει;
β. καὶ μάλα· νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει.

61. Diogenes an den Charon.

(Archias. Ep. 34.)

Ἄϊδος ὦ νεκυηγέ, κεχαρμένε [1]) δάκρυσι πάντων,
ὃς βαθὺ πορθμεύεις τοῦτ' Ἀχέροντος ὕδωρ,
εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων
ὁλκάς, μὴ προλίπῃς Διογένη με κύνα.
ἔλπην καὶ σκίπωνα φέρω, καὶ διπλόον εἶμα,
καὶ πήραν, καὶ σοὶ ναυτιλίης ὀβολόν.
καὶ ζωὸς τάδε μοῦνον, ἃ καὶ νέκυς ὧδε κομίζω,
εἶχον· ὑπ' ἠελίου δ' οὔτι λέλοιπα φάει.

1) χαίρω.

62. Epictetos.

(Anal. III. 272. Ep. 576.)

Δοῦλος Ἐπίκτητος γενόμην, καὶ σῶμ' ἀνάπηρος,
καὶ πενίην Ἶρος, καὶ Φίλος ἀθανάτοις.

63. Timon der Menschenfeind.

(Ptolemae. Ep. 3.)

Μὴ πόθεν εἰμὶ μάθῃς, μηδ' οὔνομα· πλὴν ὅτι θνήσκειν
τοὺς παρ' ἐμὴν στήλην ἐρχομένους ἐθέλω.

64. Grabschrift der bey Thyrea gefallenen Spartaner.

(Simonid. Ep. 26.)

Οἵδε τριηκόσιοι, Σπάρτα πατρί, τοῖς συναρίθμοις
Ἰναχίδῃς Θυρέαν ἄμφι μαχεσσάμενοι,
αὐχένας οὐ στρέψαντες, ὅπα ποδὸς ἴχνια πρᾶτον
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
καρύσσει· Θυρέα, Ζεῦ, Λακεδαιμονίων.
αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἧς ἀπ' Ἀδράστου.
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

65. Grabschrift der bey Thermopylae gefallenen Spartaner.

(Simonid. Ep. 30.)

Ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

66. Auf einen tapfern Krieger.

(Anacreon. Ep. 80.)

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα.
Ἄρης δ'οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

67. Nacktheit des Lebens.

(Pallad. Ep. 103.)

Γῆς ἐπέβην γυμνός, γυμνός θ' ὑπὸ γαῖαν ἄπειμι·
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

68. Allgemeines Loos.

(Anal. III. p. 286. Ep. 636.)

Κάτθανον, ἀλλὰ μένω σε· μενεῖς δέ τε καὶ σύ τιν' ἄλλον.
πάντας ὁμῶς θνητοὺς εἰς Ἀΐδης δέχεται.

69. Der Weg in die Unterwelt.

(Anal. III. 245. Ep. 443.)

Εἰς Ἀΐδην ἰθεῖα κατήλυσις, εἴτ' ἀπ' Ἀθηνῶν
στείχοις, εἴτε νέκυς νείσεαι ἐκ Μερόης.

μή σέ γ' ἀνιάτω πάτρης ἄπο τῆλε θανόντα·
πάντοθεν εἷς ὁ Φέρων εἰς Ἀΐδην ἄνεμος.

70. Abschied von der Hoffnung.

(Anal. III. p. 286. Ep. 639.)

Ἐλπὶς καὶ σὺ Τύχη, μέγα χαίρετε· τὸν λιμέν' εὗρον·
οὐδὲν ἐμοὶ χ' ὑμῖν· 1) παίζετε τοὺς μετ' ἐμέ.

71. Grab des Guten.

(Callimachos Ep. 49.)

Τῇδε Σάων ὁ Δίκωνος, Ἀκάνθιος, ἱερὸν ὕπνον
κοιμᾶται· θνάσκειν μὴ λέγε τοὺς ἀγαθούς.

72. Bitte.

(Meleager. Ep. 121.)

Παμμῆτορ γῆ χαῖρε· σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
Αἰσιγένην καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

73. Allgemeines Loos.

(Simonid. Ep. 99.)

Χαίρει τις Θεόδωρος 2) ἐπεὶ θάνον· ἄλλος ἐπ' αὐτῷ
χαιρήσει· θανάτῳ πάντες ὀφειλόμεθα.

1) καὶ ὑμῖν. 2) i. e. ἐγὼ Θεόδωρος.

74. Der Sklav.

(Anyte. Ep. 21.)

Μάνης οὗτος ἀνὴρ ἦν ζῶν ποτε· νῦν δὲ τεθνηκὼς
ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

75. Bitte an den verstorbnen Freund.

(Anal. III. p. 287. Ep. 642.)

Τοῦτό τοι ἡμετέρης μνημήϊον, ἐσθλὲ Σαβῖνε,
ἡ λίθος ἡ μικρή. τῆς μεγάλης Φιλίης.
αἰεὶ ζητήσω σε· σὺ δ', εἰ θέμις, ἐν φθιμένοισιν
τοῦ Λήθης ἐπ' ἐμοὶ μή τι πίῃς ὕδατος.

76. Grab des Schiffbrüchigen.

(Anal. III. 294. Ep. 672.)

Ναυτίλε, μὴ πεύθου τίνος ἐνθάδε τύμβος ὅδ' εἰμί·
ἀλλ' αὐτὸς πόντου τύγχανε χρηστοτέρου.

77.

(Plato Ep. 25.)

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργοῦ·
ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.

78.

(Plato Ep. 27.)

Πλωτῆρες, σώζοισθε καὶ εἰν ἁλί, καὶ κατὰ γαῖαν·
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

79.

(Theodorid. Ep. 16.)

Ναυηγοῦ τάφος εἰμί· σὺ δὲ πλέε· καὶ γὰρ ὅθ' ἡμεῖς
ὀλλύμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.

80.

(Posidippi Ep. 19.)

Ναυτίλοι, ἐγγὺς ἁλὸς τί με θάπτετε; πολλὸν ἄνευθε
χῶσαι ναυηγοῦ τλήμονα τύμβον ἔδει.
Φρίσσω κύματος ἦχον, ἐμὸν μόρον· ἀλλὰ καὶ οὕτως
χαίρετε, Νικήτην οἵ τινες οἰκτέρετε.

81. Unabwendbares Schicksal.

(Statyll. Flacc. Ep. 11.)

Λαίλαπα καὶ μανίην ὀλοῆς προφυγόντα θαλάσσης
ναυηγόν, Λιβυκαῖς κείμενον ἐν ψαμάθοις,
οὐχ ἑκὰς ἠϊόνων, πυμάτῳ βιβαρημένον ὕπνῳ,
γυμνόν, ἀπὸ στυγερῆς ὡς κάμε ναυφθορίης,
ἔκτανε λυγρὸς ἔχις. τί μάτην πρὸς κύματ' ἐμόχθει,
τὴν ἐπὶ γῆς Φεύγων μοῖραν ὀφειλομένην;

82. Der Ermordete an seinen Mörder.

(Anal. III. 252. Ep. 446.)

Κἄν με κατακρύπτῃς, ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος,
ὄμμα Δίκης καθορᾷ πάντα τὰ γινόμενα.

83.

(Ebend. Ep. 447.)

Ἔκτανες, εἶτά μ' ἔθαπτες, ἀτάσθαλε, χερσὶν ἐκείναις,
αἷς με διεχρήσω· [1]) μή σε λάθοι Νέμεσις.

84.

(Ebend. Ep. 448.)

Χερσὶ κατακτείνας τάφον ἔκτισας, οὐχ ἵνα θάψῃς,
ἀλλ' ἵνα με κρύψῃς· ταὐτὸ δὲ καὶ σὺ πάθοις.

85.

(Simonid. Ep. 59.)

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
Ζεῦ ξένι'· οἱ δ' ὑπὸ γᾶν θέντες, ὄναιντο βίου.

1) διαχράομαι.

86. Grabschrift eines Glücklichen.

(Carphylid. Ep. 2.)

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου, παροδῖτα,
οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών.
τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
συγγήρου· τρισσοῖς παισὶν ἔδωκα γάμους,
ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον,
οἵ με κατασπείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
κοιμᾶσθαι, χώρην πέμψαν ἐπ' εὐσεβέων.

87. Der Landmann an die Erde.

(Anal. III. 288. Ep. 650.)

Γαῖα Φίλη τὸν πρέσβυν Ἀμύντιχον ἔνθεο [1])
κόλποις,
πολλῶν μνησαμένη τῶν ἐπί σοι καμάτων.
καὶ γὰρ ἀεὶ πρέμνον σοι ἀνεστήριξεν ἐλαίης,
πολλάκι καὶ Βρομίου κλήμασιν ἠγλάϊσε,
καὶ Δηοῦς ἔπλησε, καὶ ὕδατος αὔλακας ἕλκων
θῆκε μὲν εὐλάχανον, θῆκε δ' ὀπωροφόρον.
ἀνθ' ὧν σὺ πρηεῖα κατὰ κροτάφου πολιοῖο
κεῖσο, καὶ εἰαρινὰς ἀνθοκόμει βοτάνας.

88. Grabschrift eines Jünglings.

(Anal. III. 300. Ep. 695.)

Πρωθήβην ἔτι κοῦρον, ἔτι χνοάοντος ἰούλου
δευόμενον, φθονερὴ Μοῖρα καθεῖλε [2]) βίου,

1) ἀντίθημι. 2) καθαιρέω.

πολλὰ σοφῆς χερὸς ἔργα λελοιπότα· βάσκανε δαῖμον,
οἵας οὐχ ὁσίως ἐλπίδας ἐξέταμες. 1)
ἀλλὰ σύ, Γαῖα, πέλοις ἀγαθὴ κουφή τ' Ἀκυλίνῳ,
καὶ δὲ παρὰ πλευρὰς ἄνθεα λαρὰ φύοις,
ὅσσα κατ' Ἀραβίους τε φέρεις, ὅσα τ' ἐστὶ κατ' Ἰνδούς,
ὡς ἂν ἀπ' εὐόδμου χρωτὸς ἰοῦσα δρόσος
ἀγγέλλῃ τὸν παῖδα θεοῖς φίλον ἔνδοθι κεῖσθαι,
λοιβῆς καὶ θυέων ἄξιον, οὐχὶ γόων.
εἰκοσέτη τὸν παῖδα θοὴ κατειήρατο 2) Μοῖρα,
κἄστιν ἐν εὐσεβέων ἣν διὰ σωφροσύνην.

89. Das Kind.

(Anal. III. 305. Ep. 712.)

Ἄρτι με γευόμενον ζωᾶς βρέφος ἥρπασε δαίμων,
οὐκ οἶδ' εἴτ' ἀγαθῶν αἴτιος, εἴτε κακῶν.

90.

(Ibid. Ep. 713.)

Ἀπλήρωτ' Ἀΐδα, τί με νήπιον ἥρπασας ἄφνω;
τί σπεύδεις; οὗ σοι πάντες ὀφειλόμεθα;

91.

(Lucian. Ep. 26.)

Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα
νηλειὴς Ἀΐδης ἥρπασε, Καλλίμαχον.

1) ἐκτέμνω. 2) κατεναίρω.

ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

92. Das leere Grab.

(Anal. III. 285. Ep. 634.)

Αὐτῷ καὶ τεκέεσσι, γυναικί τε τύμβον ἔδειμεν [1])
Ἀνδροτίων, οὔπω δ' οὐδενός εἰμὶ τάφος.
οὕτω καὶ μείναιμι πολὺν χρόνον· εἰ δ' ἄρα καὶ δεῖ,
δεξαίμην ἐν ἐμοὶ τοὺς προτέρους [2]) προτέρους.

93. Wunsch.

(Ammian. Ep. 13.)

Εἴη σοι κατὰ γῆς κούφη κόνις, οἰκτρὲ Νέαρχε,
ὄφρα σε ξηϊδίως ἐξερύσωσι κύνες.

1) δέμω. 2) i. e. τοὺς πρεσβυτέρους. κατὰ τὴν τῆς ἡλικίας τάξιν.

III.

Homerische Gedichte.

Homerischer Hymnus auf den Hephaestos.

Ἥφαιστον κλυτόμητιν ἀείδεο, Μοῦσα λίγεια,
ὃς μετ' Ἀθηναίης γλαυκώπιδος ἀγλαὰ ἔργα
ἀνθρώπους ἐδίδαξεν ἐπὶ χθονός, οἳ τὸ πάρος περ
ἄντροις ναιετάασκον [1]) ἐν οὔρεσιν, ἠΰτε θῆρες.
νῦν δὲ δι' Ἥφαιστον κλυτοτέχνην ἔργα δαέντες, [2])
ῥηϊδίως αἰῶνα τελεσφόρον εἰς ἐνιαυτὸν
εὖηλοι διάγουσιν ἐνὶ σφετέροισι δόμοισιν.
Ἀλλ' ἵληθ', [3]) Ἥφαιστε, δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

Homerischer Hymnus auf den Poseidon.

Ἀμφὶ Ποσειδάωνα, θεὸν μέγαν, ἄρχομ' ἀείδειν,
γαίης κινητῆρα καὶ ἀτρυγέτοιο θαλάσσης,
πόντιον ὅς θ' Ἑλικῶνα καὶ εὐρείας ἔχει Αἰγάς.
διχθά τοι, Ἐνοσίγαιε, θεοὶ τιμὴν ἐδάσαντο,
ἵππων τε δμητῆρ' ἔμεναι, σωτῆρά τε νηῶν.
Χαῖρε, Ποσείδαον, γαιήοχε, κυανοχαῖτα,
καί, μάκαρ, εὐμενὲς ἦτορ ἔχων, πλώουσιν [4]) ἄρηγε.

1) ναιετάω. 2) δαίω. 3) ἵλημι. 4) πλέω.

Homerischer Hymnus auf den Dionysos.

Κισσοκόμην Διόνυσον, ἐρίβρομον, ἄρχομ' ἀείδειν,
Ζηνὸς καὶ Σεμέλης, ἐρικυδέος ἀγλαὸν υἱόν,
ὃν τρέφον ἠΰκομοι Νύμφαι, παρὰ πατρὸς ἄνακτος
δεξάμεναι κόλποισι, καὶ ἐνδυκέως ἀτίταλλον
Νύσης ἐν γυάλοις· ὁ δ' ἀεξετο πατρὸς ἑκητι
ἄντρῳ ἐν εὐώδει, μεταρίθμιος ἀθανάτοισιν.
αὐτὰρ ἐπειδὴ τόνδε θεαὶ πολύϋμνον ἔθρεψαν,
δὴ τότε Φοιτίζεσκε καθ' ὑλήεντας ἐναύλους,
κισσῷ καὶ δάφνῃ πεπυκασμένος· αἱ δ' ἅμ' ἕποντο
Νύμφαι, ὁ δ' ἐξηγεῖτο· βρόμος δ' ἔχεν ἄσπετον ὕλην.
Καὶ σὺ μὲν οὕτω χαῖρε, πολυστάφυλ' ὦ Διόνυσε·
δὸς δ' ἡμᾶς χαίροντας ἐς ὥρας αὖτις ἱκέσθαι,
ἐκ δ' αὖθ' ὡράων εἰς τοὺς πολλοὺς ἐνιαυτούς.

Homerischer Hymnus auf die Athene.

Παλλάδ' Ἀθηναίην, κυδρὴν θεόν, ἄρχομ' ἀείδειν,
γλαυκῶπιν, πολύμητιν, ἀμείλιχον ἦτορ ἔχουσαν,
παρθένον αἰδοίην, ἐρυσίπτολιν, ἀλκήεσσαν,
Τριτογενῆ· τὴν αὐτὸς ἐγείνατο μητιέτα Ζεὺς
σεμνῆς ἐκ κεφαλῆς, πολεμήϊα τεύχε' ἔχουσαν,

χρύσεα, παμφανόωντα·[1]) σέβας δ' ἔχε πάντας ὁρῶντας
ἀθανάτους· ἡ δὲ πρόσθεν Διὸς αἰγιόχοιο
ἐσσυμένως ὤρουσεν ἀπ' ἀθανάτοιο καρήνου,
σείσασ' ὀξὺν ἄκοντα· μέγας δ' ἐλελίζετ' Ὄλυμπος
δεινὸν ὑπὸ βρίμῃ γλαυκώπιδος· ἀμφὶ δὲ γαῖα
σμερδαλέον ἰάχησεν· ἐκινήθη δ' ἄρα πόντος,
κύμασι πορφυρέοισι κυκώμενος· ἔσχετο δ' ἅλμη
ἐξαπίνης· στῆσεν δ' Ὑπερίονος ἀγλαὸς υἱὸς
ἵππους ὠκύποδας δηρὸν χρόνον, εἰσόκε κούρη
εἵλετ' ἀπ' ἀθανάτων ὤμων θεοείκελα τεύχη
Παλλὰς Ἀθηναίη, γήθησε δὲ μητιέτα Ζεύς.
Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς τέκος αἰγιόχοιο·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Homerischer Hymnus auf die Artemis.

Ἄρτεμιν ἀείδω χρυσηλάκατον, κελαδεινήν,
παρθένον αἰδοίην, ἐλαφηβόλον, ἰοχέαιραν,
αὐτοκασιγνήτην χρυσαόρου Ἀπόλλωνος·
ἣ κατ' ὄρη σκιόεντα καὶ ἄκριας ἠνεμοέσσας
ἄγρῃ τερπομένη παγχρύσεα τόξα τιταίνει,
πέμπουσα στονόεντα βέλη· τρομέει δὲ κάρηνα
ὑψηλῶν ὀρέων, ἰαχεῖ δ' ἐπὶ δάσκιος ὕλη
δεινὸν ὑπὸ κλαγγῆς νευρέων· φρίσσει δέ τε γαῖα,
πόντος δ' ἰχθυόεις· ἡ δ' ἄλκιμον ἦτορ ἔχουσα,
πάντη ἐπιστρέφεται, θηρῶν ὀλέκουσα γενέθλην.
αὐτὰρ ἐπὴν τερφθῇ θηροσκόπος ἰοχέαιρα,

1) παμφανάω.

εὐφρηνῃ τε νόον, χαλάσασ' εὐκαμπέα τόξα,
ἔρχεται εἰς μέγα δῶμα κασιγνήτοιο Φίλοιο,
Φοίβου Ἀπόλλωνος, Δελφῶν ἐς πίονα δῆμον,
Μουσεων καὶ Χαρίτων καλὸν χορὸν ἀρτυνέουσα.
Ἔνθα καταθρεμάσασα παλίντονα τόξα καὶ ἰούς,
ἡγεῖται, χαρίεντα περὶ χροΐ κόσμον ἔχουσα,
ἐξάρχουσα χορούς· αἱ δ' ἀμβροσίην ὅπ' ἰεῖσαι
ὑμνεῦσιν Λητὼ καλλίσφυρον, ὡς τέκε παῖδας,
ἀθανάτων βουλῇ τε καὶ ἔργμασιν ἔξοχ' ἀρίστους.
Χαίρετε, τέκνα Διὸς καὶ Λητοῦς ἠϋκόμοιο·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Homerischer Hymnus auf die Dioskuren.

Ἀμφὶ Διοσκούρους ἑλικώπιδες ἕσπετε Μοῦσαι,
Τυνδαρίδας, Λήδης καλλισφύρου ἀγλαὰ τέκνα,
Κάστορά θ' ἱππόδαμον, καὶ ἀμώμητον Πολυδεύκεα.
τοὺς ὑπὸ Τηϋγέτου κορυφῇ, ὄρεος μεγάλοιο,
μιχθεῖσ' ἐν Φιλότητι κελαινεφέϊ Κρονίωνι,
σωτῆρας τέκε παῖδας ἐπιχθονίων ἀνθρώπων,
ὠκυπόρων τε νεῶν, ὅτε κε σπέρχωσιν ἄελλαι
χειμέριαι κατὰ πόντον ἀμειλιχον· οἱ δ' ἀπὸ νηῶν
εὐχόμενοι καλέουσι Διὸς κούρους μεγάλοιο
ἄρνεσσιν λευκοῖσιν, ἐπ' ἀκρωτήρια βάντες
πρύμνης, τὴν δ' ἄνεμός τε μέγας καὶ κῦμα θαλάσσης
θῆκαν ὑποβρυχίην· οἱ δ' ἐξαπίνης ἐφάνησαν
ξουθῇσι πτερύγεσσι δ' αἰθέρος ἀϊξαντες
αὐτίκα δ' ἀργαλέων ἀνέμων κατέπαυσαν ἀέλλας.

κύματα δ' ἐστόρεσαν λευκῆς ἁλὸς ἐν πελάγεσσι
ναύτῃς, σήματα καλὰ πόνου σφίσιν· οἱ δὲ ἰδόν-
τες
γήθησαν, παύσαντο δ' ὀϊζυροῖο πόνοιο.
Χαίρετε, Τυνδαρίδαι, ταχέων ἐπιβήτορες ἵπ-
πων·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Homerischer Hymnos auf den Dionysos.

Ἀμφὶ Διώνυσον, Σεμέλης ἐρικυδέος υἱόν,
μνήσομαι, ὡς ἐφάνη παρὰ θῖν' ἁλὸς ἀτρυγέ-
τοιο,
ἀκτῇ ἐπὶ προβλῆτι, νεηνίῃ ἀνδρὶ ἐοικὼς
πρωθήβῃ· καλαὶ δὲ περισσείοντο ἔθειραι
κυάνεαι, φᾶρος δὲ περὶ στιβαροῖς ἔχεν ὤμοις
πορφύρεον. τάχα δ' ἄνδρες ἐϋσσέλμου ἀπὸ νηὸς
ληϊσταὶ προγένοντο θοῶς ἐπὶ οἴνοπα πόντον
Τυρσηνοί· τοὺς δ' ἦγε κακὸς μόρος· οἱ δὲ ἰδόν-
τες
νεῦσαν ἐς ἀλλήλους, τάχα δ' ἔκθορον· αἶψα δ'
ἑλόντες
εἶσαν ἐπὶ σφετέρης νηός, κεχαρημένοι ἦτορ.
υἱὸν γάρ μιν ἔφαντο διοτρεφέων βασιλήων
εἶναι, καὶ δεσμοῖς ἔθελον δεῖν ἀργαλέοισι.
τὸν δ' οὐκ ἴσχανε δεσμά, λύγοι δ' ἀπὸ τηλόσ'
ἔπιπτον
χειρῶν ἠδὲ ποδῶν· ὁ δὲ μειδιάων ἐκάθητο
ὄμμασι κυανέοισι· κυβερνήτης δὲ νοήσας,
αὐτίκα οἷς ἑτάροισιν ἐκέκλετο, Φώνησέν τε·
Δαιμόνιοι, τίνα τόνδε θεὸν δεσμεύεθ' ἑλόντες,
καρτερόν; οὐδὲ φέρειν δύναταί μιν νηῦς εὐεργής.

ἢ γὰρ Ζεὺς ὅδε γ' ἐστίν, ἢ ἀργυρότοξος Ἀπόλλων,
ἠὲ Ποσειδάων· ἐπεὶ οὐ θνητοῖσι βροτοῖσιν
εἴκελος, ἀλλὰ θεοῖς, οἵ Ὄλύμπια δώματ' ἔχουσιν.
ἀλλ' ἄγετ', αὐτὸν ἀφῶμεν ἐπ' ἠπείροιο μελαίνης
αὐτίκα· μήτ' ἐπὶ χεῖρας ἰάλλετε, μή τι χολωθεὶς
ὄρσῃ ἀργαλέους ἀνέμους καὶ λαίλαπα πολλήν.
Ὣς Φάτο· τὸν δ' ἀρχὸς στυγερῷ ἠνίπαπε μύθῳ·
δαιμόνι', οὖρον ὅρα, ἅμα δ' ἱστίον ἕλκεο νηός,
σύμπανθ' ὅπλα λαβών, [1]) ὅδε δ' αὖτ' ἄνδρεσσι μελήσει.
ἔλπομαι, ἢ Αἴγυπτον ἀφίξεται, ἢ ὅγε Κύπρον,
ἢ ἐς Ὑπερβορέους, ἢ ἐκαστέρω· ἐς δὲ τελευτὴν
ἔκ ποτ' ἐρεῖ αὐτοῦ τε φίλους, καὶ κτήματα πάντα,
οὕς τε κασιγνήτους· ἐπεὶ ἡμῖν ἔμβαλε δαίμων. [2])
Ὣς εἰπών, ἱστόν τε καὶ ἱστίον ἕλκετο νηός·
ἔμπνευσεν δ' ἄνεμος μέσον ἱστίον· ἀμφὶ δ' ἄρ' ὅπλα

1) λαβών. Der Wind füllt die Segel und sogleich muſs das Geräth zur Fahrt eingerichtet und das Steuer gebraucht werden. Dieses ist σύμπανθ' ὅπλα λαβών. So Odyss. μ. 150.

ἵημενον οὖρον ἴει — Κίρκη —
αὐτίκα δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνεν.

2) Die Construction ist: ἐπεὶ δαίμων (αὐτὸν) ἔμβ. ἡμ. da ein Gott ihn uns zuwarf, ihn auf uns stoſsen lieſs.

κατάνυσαν· τάχα δέ σφιν ἐφαίνετο θαυματὰ ἔργα.
Οἶνος μὲν πρώτιστα θοὴν ἀνὰ νῆα μέλαιναν
ἡδύποτος κελάρυζ', εὐώδης, ὤρνυτο δ' ὀδμὴ
ἀμβροσίη· νώτας δὲ τάφος λάβε πάντας ἰδόντας.
αὐτίκα δ' ἀκρότατον παρὰ ἱστίον ἐξετανύσθη
ἄμπελος ἔνθα καὶ ἔνθα, κατεκρημνῶντο δὲ πολλοὶ
βότρυες· ἀμφ' ἱστὸν δὲ μέλας εἱλίσσετο κισσὸς
ἄνθεσι τηλεθόων, χαρίεις δ' ἐπὶ καρπὸς ὀρώρει.
πάντες δὲ σκαλμοὶ στεφάνους ἔχον· οἱ δὲ ἰδόντες
νῆα θοὴν [1]) τότ' ἔπειτα κηβερνήτην ἐκέλευον
γῇ πελάᾳν· ὁ δ' ἄρα σφι λέων γένετ' ἔνδοθι νηὸς
δεινὸς ἐπ' ἀκροτάτης, μέγα δ' ἔβραχεν, ἐν δ' ἄρα μέσσῃ
ἄρκτον ἐποίησεν λασιαύχενα, σήματα φαίνων·
ἡ [4]) δ' ἔστη μεμαυῖα· λέων δ' ἐπὶ σέλματος ἄκρου
δεινὸν ὑπόδρα ἰδών. οἱ δ' εἰς πρύμνην ἐφόβηθεν,
ἀμφὶ κυβερνήτην δέ, σαόφρονα θυμὸν ἔχοντα,
ἔσταν ἀῤ ἐκπληγέντες· ὁ δ' ἐξαπίνης ἐπορούσας
ἀρχὸν ἕλ'· οἱ δὲ θύραζε, κακὸν μόρον ἐξαλύοντες,

1) Νῆα θοὴν ist unsre Muthmafsung. Die Handschriften geben ohne Sinn μὴ δ' ἤδη und μὴ δήδειν. Hermann schlug bereits Νῆ' ἤδη vor. 2) ἡ δ' ἔστη. So lesen wir statt ἄν δ' ἔστη, da eine Beziehung auf ἄρκτος durch den Artikel unumgänglich scheint.

πάντες ὁμῶς πήδησαν, ἐπεὶ ἴδον, εἰς ἅλα δῖαν,
δελφῖνες δ' ἐγένοντο· κυβερνήτην δ' ἐλεήσας
ἔσχεθε, καί μιν ἔθηκε πανόλβιον, εἶπέ τε μῦθον·
Θάρσει, δῖ' ἄκτωρ, τῷ ἐμῷ κεχαρισμένε θυμῷ.
εἰμὶ δ' ἐγὼ Διόνυσος ἐρίβρομος, ὃν τέκε μήτηρ
Καδμηΐς Σεμέλη, Διὸς ἐν φιλότητι μιγεῖσα.
Χαῖρε, τέκος Σεμέλης εὐώπιδος· οὐδέ πη ἔστι, [1])
σεῖό γε ληθόμενον γλυκερὴν κοσμῆσαι ἀοιδήν.

Odysseus ruft den Achäern die Weissagung des Calchas über die Dauer des Krieges zurück.

Ιλ. β. 299.

Τλῆτε, φίλοι, καὶ μείνατ' ἐπὶ χρόνον, ὄφρα δαῶμεν,
ἢ ἐτεὸν Κάλχας μαντεύεται ἠὲ καὶ οὐχί.
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ Φρεσίν· ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ Κῆρες ἔβαν θανάτοιο φέρουσαι·

1) Der Sinn ist: Keineswegs (οὐδέ πη) ist es gebührlich (ἔστιν) dein vergessend (das γέ bey σεῖο gibt dem Genitiv Gewicht und Ton) den Gesang zu schmücken, d. i. den Gesang zu beginnen ohne dich zuvor gepriesen zu haben. — Die kleinern Hymnen dienten den Rhapsoden als Einleitungen, als Präludia zu den grösern Gesängen.

χθιζά τε καὶ πρῴϊζ', [1]) ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο, κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι·
ἡμεῖς δ' ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
ἔρδομεν ἀθανάτοισι τελήεσσας ἑκατόμβας,
καλῇ ὑπὸ πλατανίστῳ, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
ἔνθ' ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
σμερδαλέος, τόν ῥ' αὐτὸς Ὀλύμπιος ἦκε φόωσδε, [2])
βωμοῦ ὑπαΐξας, πρός ῥα πλατάνιστον ὄρουσεν.
ἔνθα δ' ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὄζῳ ἐπ' ἀκροτάτῳ, πετάλοις ὑποπεπτηῶτες, [3])
ὀκτώ· ἀταρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
ἔνθ' ὅγε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας· [4])
μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν. [5])
αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀρίζηλον θῆκεν θεός, ὅσπερ ἔφηνεν.
λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω.
ἡμεῖς δ' ἑσταότες θαυμάζομεν, οἷον ἐτύχθη.
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ' ἑκατόμβας,
Κάλχας αὐτίκ' ἔπειτα θεοπροπέων ἀγόρευεν·

1) „Gestern und vorgestern war es“ überhaupt Angabe einer kurzen Zeit: es scheint kaum einige Tage, dafs etc. 2) φάος. 3) ὑποπτήσσω. 4) τρίζω. 5) ἀμφιάχω.

τίπτ' ἄνεῳ ἐγένεσθε, καρηκομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ' ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
ὄψιμον, ὀψιτέλεστον, [6]) οὗ [7]) κλέος οὔποτ' ὀλεῖται.
ὡς οὗτος κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
ὣς ἡμεῖς τοσσαῦτ' ἔτεα πτολεμίξομεν αὖθι,
τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυαγυίαν.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ἀλλ' ἄγε, μίμνετε πάντες, ἐϋκνήμιδες Ἀχαιοί,
αὐτοῦ, εἰςόκεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν.

Das Heer der Achäer zieht in die Schlacht.

Ιλ. β. 455.

Ἠΰτε πῦρ ἀϊδηλον ἐπιφλέγει ἄσπετον ὕλην
οὔρεος ἐν κορυφῇς, ἔκαθεν δέ τε φαίνεται αὐγή·
ὣς τῶν ἐρχομένων ἀπὸ χαλκοῦ θεσπεσίοιο
αἴγλη παμφανόωσα δι' αἰθέρος οὐρανὸν ἷκεν.
Τῶν δ' ὥςτ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
ἀσίῳ ἐν λειμῶνι, Καϋστρίου ἀμφὶ ῥέεθρα,
ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμεναι πτερύγεσσιν,
κλαγγηδὸν προκαθιζόντων, σμαραγεῖ δέ τε λειμών·
ὡς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων

1) Das zweyte Wort ὀψιτέλεστον ist zu näherer Bestimmung des schwankenden ὄψιμον angefügt.
2) st. οὗ.

ἐς πεδίον προχέοντο Σκαμάνδριον· αὐτὰρ ὑπὸ χθὼν [1])
σμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων.
ἔσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι,
μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ.
Ἠΰτε μυιάων ἀδινάων ἔθνεα πολλά,
αἵτε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσιν
ὥρῃ ἐν εἰαρίνῃ, ὅτε τε γλάγος ἄγγεα δεύει·
τόσσοι ἐπὶ Τρώεσσι καρηκομόωντες Ἀχαιοὶ
ἐν πεδίῳ ἵσταντο, διαρραῖσαι μεμαῶτες.
Τοὺς δ', ὥςτ' αἰπόλια πλατέ' αἰγῶν αἰπόλοι ἄνδρες
ῥεῖα διακρίνωσιν, ἐπεί κε νομῷ μιγέωσιν·
ὡς τοὺς ἡγεμόνες διεκόσμεον ἔνθα καὶ ἔνθα,
ὑσμίνηνδ' ἰέναι· μετὰ δέ, κρείων Ἀγαμέμνων,
ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.
ἠΰτε βοῦς ἀγέλῃφι μέγ' ἔξοχος ἔπλετο πάντων
ταῦρος· ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσιν· [2])
τοῖον ἄρ' Ἀτρεΐδην θῆκε Ζεὺς ἤματι κείνῳ,
ἐκπρεπέ' ἐν πολλοῖσι καὶ ἔξοχα ἡρώεσσιν.

Die Trojaner und Achäer rücken gegen einander.

Il. δ. 422.

Ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης
ὄρνυτ' ἐπασσύτερον, Ζεφύρου ὑποκινήσαντος·

1) Cstr. χθὼν σμ. κονάβιζε ὑπὸ ποδῶν αὐτῶν τ. κ. ἵ.
2) st. ἀγειρομένῃσι.

πόντῳ μὲν τὰ πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας
κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην·
ὣς τότ' ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες
νωλεμέως πόλεμόνδε· κέλευε δὲ οἷσιν ἕκαστος
ἡγεμόνων· οἱ δ' ἄλλοι ἀκὴν ἴσαν — οὐδέ κε Φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδήν. —
σιγῇ δειδιότες σημάντορας· ἀμφὶ δὲ πᾶσιν
τεύχεα ποικίλ' ἔλαμπε, τὰ εἱμένοι [1]) ἐστιχόωντο.
Τρῶες δ' ὥστ' ὄϊες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκόν,
ἀζηχὲς μεμακυῖαι, ἀκούουσαι ὅπα ἀρνῶν·
ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει.
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς,
ἀλλὰ γλῶσσ' ἐμέμικτο· πολύκλητοι δ' ἔσαν ἄνδρες.
ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη,
Δεῖμός τ' ἠδὲ Φόβος καὶ Ἔρις, ἄμοτον μεμαυῖα,
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη, ἑτάρη τε·
ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἑστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.
ἥ σφιν καὶ τότε νεῖκος ὁμοίϊον ἔμβαλε μέσσῳ,
ἐρχομένη καθ' ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν.

1) ἕννυμι. Aor. 2. M. εἵμην.

Οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἔνα ξυνιόντες ἵκοντο,
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀν-
δρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' [1]) ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώ-
ρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν,
ὀλλύντων τε καὶ ὀλλυμένων· ῥέε δ' αἵματι γαῖα.
ὡς δ' ὅτε χείμαῤῥοι ποταμοί, κατ' ὄρεσφι
ῥέοντες,
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ,
κρουνῶν ἐκ μεγάλων, κοίλης ἔντοσθε χαράδρης·
τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποι-
μήν·
ὣς τῶν μισγομένων γένετο ἰαχή τε Φόβος τε.

Hektors Abschied von Andromache vor der Rückkehr in die Schlacht.

Ιλ. ζ. 369.

Ὣς ἄρα Φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ.
αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὐναιετάοντας,
οὐδ' εὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροι-
σιν·
ἀλλ' ἤγε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ εὐπέπλῳ
πύργῳ ἐφεστήκει γοόωσά τε, μυρομένη τε·

1) πελάω oder πελάζω. Stamm. πέλα in πέλας. Plusq. P. eigentlich ἐπεπελήμην oder ἐπεπλήμην. Hom. ohne Reduplik. ἀπλήμην.

Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν,
ἔστη ἐπ' οὐδὸν ἰών, μετὰ δὲ δμωῇσιν ἔειπεν·
Εἰ δ', ἄγε μοι, δμωαί, νημερτέα μυθήσασθε·
πῇ ἔβη Ἀνδρομάχη λευκώλενος ἠκ μεγάροιο;
ἦ πη ἐς γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρωαὶ ἐϋπλόκαμον δεινὴν θεὸν ἱλάσκονται;
Τὸν δ' αὖτ' ὀτρηρὴ ταμίη πρὸς μῦθον ἔειπεν·
Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγας ἀληθέα μυθήσασθαι·
οὔτε πη ἐς γαλόων, οὔτ' εἰνατέρων εὐπέπλων,
οὔτ' ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρωαὶ ἐϋπλόκαμον δεινὴν θεὸν ἱλάσκονται·
ἀλλ' ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ' ἄκουσεν
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν.
ἣ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει,
μαινομένῃ εἰκυῖα· φέρει δ' ἅμα παῖδα τιθήνη.
Ἣ ῥα γυνὴ ταμίη· ὁ δ' ἀπέσσυτο δώματος Ἕκτωρ,
τὴν αὐτὴν ὁδὸν αὖτις ἐϋκτιμένας κατ' ἀγυιάς.
εὖτε πύλας ἵκανε, διερχόμενος μέγα ἄστυ,
Σκαιάς — τῇ γὰρ ἔμελλε διεξίμεναι πεδίονδε —
ἔνθ' ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα,
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
Ἠετίων, ὅς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσιν ἀνάσσων·
τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι χαλκοκορυστῇ.
ἣ οἱ ἔπειτ' ἤντησ', ἅμα δ' ἀμφίπολος κίεν αὐτῇ,

παῖδ' ἐπὶ κόλπῳ ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως,
Ἑκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀστέρι καλῷ·
τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτ'· οἷος γάρ ἐρύετο Ἴλιον Ἕκτωρ.
ἤτοι ὁ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δακρυχέουσα,
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ' ἐλεαίρεις
παῖδά τε νηπίαχον, καὶ ἔμ' ἄμμορον, ἢ τάχα χήρη
σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοί,
πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη,
σεῦ ἀφαμαρτούσῃ, χθόνα δύμεναι· οὐ γὰρ ἔτ' ἄλλη
ἔσται θαλπωρή, ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς,
ἀλλ' ἄχε'! οὐδέ μοί ἐστι πατὴρ καὶ πότνια μήτηρ·
ἤτοι γὰρ πατέρ' ἀμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὐναιετάωσαν,
Θήβην ὑψίπυλον· κατὰ δ' ἔκτανεν Ἠετίωνα,
οὐδέ μιν ἐξενάριξε· σεβάσσατο γὰρ τόγε θυμῷ·
ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν,
ἠδ' ἐπὶ σῆμ' ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
Νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
Οἵ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν,
οἱ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω·

πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
βουσὶν ἐπ' εἰλιπόδεσσι καὶ ἀργεννῇς ὀΐεσσιν.
μητέρα δ', ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
τὴν ἐπεὶ ἂρ δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσιν,
ἂψ ὅγε τὴν ἀπέλυσε, λαβὼν ἀπερείσι' ἄποινα·
πάτρῳ δ' ἐν μεγάροισι βάλ' Ἄρτεμις ἰοχέαιρα.
Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσι πατὴρ καὶ πότνια μήτηρ,
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης.
ἀλλ' ἄγε νῦν ἐλέαιρε, καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ,
μὴ παῖδ' ὀρφανικὸν θείῃς, [1]) χήρην τε γυναῖκα·
λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα
ἄμβατός ἐστι πόλις, καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
τρὶς γὰρ τῇγ' ἐλθόντες ἐπειρήσανθ' οἱ ἄριστοι,
ἀμφ' Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα,
ἠδ' ἀμφ' Ἀτρείδας καὶ Τυδέος ἄλκιμον υἱόν·
ἦ πού τίς σφιν ἔνισπε θεοπροπίων εὖ εἰδώς,
ἦ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
αἴ κε, κακὸς ὥς, νόσφιν ἀλυσκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
αἰεί, καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι,
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.

1) Conj. Aor. 2. st. θῆς.

εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ Φρένα καὶ κατὰ Θυμόν,
ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρή,
καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω [1]) Πριάμοιο.
ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
οὔτ' αὐτῆς Ἑκάβης, οὔτε Πριάμοιο ἄνακτος,
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίῃσι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀπούρας·
καί κεν ἐν Ἄργει ἐοῦσα, πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
καί κεν ὕδωρ Φορέοις Μεσσηΐδος ἢ Ὑπερείης,
πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη·
καί ποτέ τις εἴπῃσιν, ἰδὼν κατὰ δάκρυ χέουσαν·
Ἕκτορος ἥδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο.
ὥς ποτέ τις ἐρέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος
χήτει τοιοῦδ' ἀνδρὸς, ἀμύνειν δούλιον ἦμαρ.
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
πρίν γ' ἔτι σῆς τε βοῆς, σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι.

Ὣς εἰπὼν οὗ παιδὸς ὀρέξατο Φαίδιμος Ἕκτωρ.
ἄψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς,
ταρβήσας χαλκόν τε, ἰδὲ λόφον ἱππιοχαίτην,
δεινὸν ἀπ' ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ·
αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο Φαίδιμος Ἕκτωρ,

1) ἐϋμμελίης. Gen. (ἐϋμμελίαο) ἐϋμμελίω.

καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν·
αὐτὰρ ὅγ' ὃν Φίλου υἱὸν ἐπεὶ κύσε, πῆλέ τε χερσίν,
εἶπεν ἐπευξάμενος Διΐ τ', ἄλλοισίν τε θεοῖσιν·
Ζεῦ, ἄλλοι τέ θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ' ἀγαθόν, καὶ Ἰλίου ἶφι ἀνάσσειν·
καί ποτέ τις εἴπῃσι· πατρὸς δ' ὅγε πολλὸν ἀμείνων!
ἐκ πολέμου ἀνιόντα· Φέροι δ' ἔναρα βροτόεντα,
κτείνας δήϊον ἄνδρα, χαρείη δὲ Φρένα μήτηρ.
Ὣς εἰπὼν ἀλόχοιο Φίλης ἐν χερσὶν ἔθηκεν
παῖδ' ἑόν· ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ,
δακρυόεν γελάσασα. πόσις δ' ἐλέησε νοήσας,
χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ!
οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνὴρ ἄϊδι προϊάψει·
μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ', ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· πόλεμος δ' ἄνδρεσσι μελήσει
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ Ἰλίῳ ἐγγεγάασιν.
Ὣς ἄρα Φωνήτας κόρυθ' εἵλετο Φαίδιμος Ἕκτωρ
ἵππουριν· ἄλοχος δὲ Φίλη οἰκόνδε βεβήκει,
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.

αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὐναιετάοντας
Ἕκτορος ἀνδροφόνοιο· κιχήσατο δ' ἔνδοθι πολ-
λὰς
ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν.
αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
ἵξεσθαι, προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.

Zeus verbietet den Göttern an der Schlacht der Achäer und Trojaner Theil zu nehmen.

Il. 9. 1—29.

Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν·
Ζεὺς δὲ θεῶν ἀγορὴν ποιήσατο τερπικέραυνος
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
αὐτὸς δέ σφ' ἀγόρευε, θεοὶ δ' ὑπὸ πάντες
ἄκουον·
Κέκλυτέ μευ, πάντες τε θεοί, πᾶσαί τε
θέαιναι,
ὄφρ' εἴπω, τά με θυμός ἐνὶ στήθεσσι κελεύει.
μήτε τις οὖν θήλεια θεὸς τόγε, μήτε τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος· ἀλλ' ἅμα πάντες
αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσιν,
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·
ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα,
τῆλε μάλ', ἠχι βάθιστον ὑπὸ χθονός ἐστι βέ-
ρεθρον·
ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,

τόσσον ἔνερθ' Ἀϊδεω, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἰ δ', ἄγε, πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες,
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες,
πάντες δ' ἐξάπτεσθε θεοί, πᾶσαί τε θέαιναι·
ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν', ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῇ κεν γαίῃ ἐρύσαιμ', αὐτῇ τε θαλάσσῃ·
σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην· τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
τόσσον ἐγὼ περί τ' εἰμί θεῶν, περί τ' εἰμ' ἀνθρώπων.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν.

Hektor siegt in der Schlacht und Zeus veranlafst den Ajax sich zurückzuziehn.

Ιλ. λ. 521—574.

Κεβριόνης δὲ Τρῶας ὁρινομένους ἐνόησεν,
Ἕκτορι παρβεβαώς, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν,
ἐσχατιῇ πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι

Τρῶες ὀρίνονται ἐπιμίξ, ἵπποι τε καὶ αὐτοί·
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος· ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες, πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν.
Ὣς ἄρα Φωνήσας ἵμασεν καλλίτριχας ἵππους
μάστιγι λιγυρῇ· τοὶ δὲ πληγῆς ἀΐοντες,
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς,
στείβοντες νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων
νέρθεν ἅπας πεπάλακτο, καὶ ἄντυγες αἱ περὶ δίφρον,
ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον,
αἵ τ' ἀπ' ἐπισσώτρων. ὁ δὲ ἵετο δῦναι ὅμιλον
ἀνδρόμεον, ῥῆξαί τε μετάλμενος· ἐν δὲ κυδοιμὸν
ἧκε κακὸν Δαναοῖσι, μίνυνθα δὲ χάζετο δουρός. [1])
αὐτὰρ ὁ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν
ἔγχεϊ τ' ἄορί τε, μεγάλοισί τε χερμαδίοισιν·
Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο.

1) Er erregt Getümmel unter den Danaern; doch aus Furcht vor dem Aias (Αἴαντος δ' ἀλέεινε μάχην) weicht er ein wenig vor der Lanze (μίν. χάζ. δουρὸς) und wendet sich seitwärts (αὐτὰρ ὁ τῶν ἄλλων etc.). Der Zusammenhang verlangt δουρός mit dem Aias in Verbindung zu bringen.

Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν Φόβον ὦρσεν·
στῆ δὲ ταφών, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον·
τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου, θηρὶ ἐοικώς,
ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων. 1)
ὡς δ' αἴθωνα λέοντα βοῶν ἀπὸ μεσσαύλοιο
ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται,
οἵτε μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι,
πάννυχοι ἐγρήσσοντες· ὁ δὲ κρειῶν ἐρατίζων,
ἰθύει, ἀλλ' οὔτι πρήσσει· θαμέες γὰρ ἄκοντες
ἀντίοι ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν,
καιόμεναί τε δεταί, τάς τε τρεῖ, ἐσσύμενός περ·
ἠῶθεν δ' ἀπονόσφιν ἔβη τετιηότι θυμῷ·
ὣς Αἴας τότ' ἀπὸ Τρώων τετιημένος ἦτορ
ἤϊε, πόλλ' ἀέκων· περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν.
ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας
νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ' ἀμφὶς ἄγη,
κείρει τ' εἰσελθὼν βαθὺ λήϊον· οἱ δέ τε παῖδες
τύπτουσιν ῥοπάλοισι· βίη δέ τε νηπίη αὐτῶν·
σπουδῇ τ' ἐξήλασσαν, ἐπεί τ' ἐκορέσσατο φορβῆς·
ὣς τότ' ἔπειτ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν,
Τρῶες ὑπέρθυμοι, τηλέκλειτοί τ' ἐπίκουροι,
νύσσοντες ξυστοῖσι μέσον σάκος, αἰὲν ἔποντο.

1) (ἀμείβων) wechseln lassend, vorbeyführend (ὀλιγον) ein wenig (γονυ) Knie (γουνὸς) an Knie, ein Knie am andern, d. i. sich mit kleinen Schritten langsam zurückziehend.

Αἴας δ' ἄλλοτε μὲν μνησάσκετο θούριδος ἀλκῆς,
αὖτις ὑποστρεφθείς, καὶ ἐρητύσασκε φάλαγγας
Τρώων ἱπποδάμων· ὁτὲ δὲ τρωπάσκετο φεύγειν.
πάντας δὲ προέεργε θοὰς ἐπὶ νῆας ὀδεύειν·
αὐτὸς δὲ Τρώων καὶ Ἀχαιῶν θῦνε μεσηγύ
ἱστάμενος· τὰ δὲ θοῦρα θρασειάων ἀπὸ χειρῶν,
ἄλλα μὲν ἐν σάκεϊ μεγάλῳ πάγεν, ὅρμενα πρόσσω·
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.

Die Trojaner siegen durch Zeus Hülfe; Poseidon ermuntert die Achäer.

Il. ν. 1—82.

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν,
τοὺς μὲν ἔα παρὰ τῆσι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν
νωλεμέως· αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν,
Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππομολγῶν,
γλακτοφάγων, Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.
ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·

οὐ γὰρ ὅγ' ἀθανάτων τιν' ἐέλπετο ὃν κατὰ θυμὸν
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηξέμεν ἢ Δαναοῖσιν.
Οὐδ' ἀλαοσκοπίην εἶχε κρείων Ἐνοσίχθων·
καὶ γὰρ ὁ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλις, καὶ νῆες Ἀχαιῶν.
ἔνθ' ἄρ' ὅγ' ἐξ ἁλὸς ἔζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιούς,
Τρωσὶν δαμναμένους, Διῒ δὲ κρατερῶς ἐνεμέσσα. [1])
Αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέρμαρ,
Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης
χρύσεα μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί.
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ· γέντο [2]) δ' ἰμάσθλην
χρυσείην, εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου·
βῆ δ' ἐλάᾳν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ

1) νεμεσάω. 2) st. γένετο siehe Ind. unter γίγνομαι.

πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν [1]) ἄνακτα·
γηθοσύνῃ δὲ θάλασσα διΐστατο· τοὶ δ' ἐπέ-
τοντο
ῥίμφα μάλ', οὐδ ὑπένερθε διαίνετο χάλκεος
ἄξων·
τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐΰσκαρθμοι φέρον ἵπποι.
Ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμ-
νης,
μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων,
λύσας ἐξ ὀχέων, παρὰ δ' ἄμβρόσιον βάλεν εἶδαρ
ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας,
ἀῤῥήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μέ-
νοιεν
νοστήσαντα ἄνακτα· ὁ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶες δέ, φλογὶ ἶσοι, ἀολλέες, ἠὲ θυέλλῃ,
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἔποντο,
ἄβρομοι, αὐϊάχοι· ἔλποντο δὲ νῆας Ἀχαιῶν
αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόφι πάντας Ἀχαιούς.
Ἀλλὰ Ποσειδάων γαιήοχος, ἐννοσίγαιος,
Ἀργείους ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθών,
εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν·
Αἴαντε πρώτω προςέφη μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν,
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλλῃ μὲν γὰρ ἔγωγ' οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ·
ἔξουσιν γὰρ ἅπαντας ἐϋκνήμιδες Ἀχαιοί·

1) ἀγνοέω.

τῇ δὲ δὴ αἰνότατον περιδείδια, μήτι πάθωμεν,
ἦ ῥ' ὅγ' ὁ λυσσώδης Φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐρισθενέος παῖς εἶναι.
σφῶϊν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
αὐτώ θ' ἑστάμεναι κρατερῶς, καὶ ἀνώγεμεν ἄλλους·
τῷ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.
Ἦ, καὶ σκηπανίῳ γαιήοχος Ἐνοσίγαιος
ἀμφοτέρω κεκοπὼς πλῆσεν μένεος κρατεροῖο·
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
αὐτὸς δ' ὥςτ' ἴρηξ ὠκύπτερος ὥρτο πέτεσθαι,
ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρθείς,
ὁρμήσῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο·
ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχθων.
τοῖϊν δ' ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας,
αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
Αἶαν, ἐπεί [1]) τις νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι·
οὐδ' ὅγε Κάλχας ἐστί, θεοπρόπος οἰωνιστής·
ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
ῥεῖ' ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοί περ [2])
καὶ δ' ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι Φίλοισιν
μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
μαιμώωσι [3]) δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθεν.

1) ἐπεί nach dem Vocativ. s. v. a. ἤτοι, fürwahr, traun. 2) περ als Verstärkungspartikel, die Götter nämlich. — καὶ δέ, aber, doch auch. 3) aus μαιμάουσι. So bald μενοινόω aus μενοινάω.

Τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
μαιμῶσιν, καί μοι μένος ὦρορε· νέρθε δὲ ποσσὶν
ἔσσυμαι ἀμφοτέροισι· μενοινώω δὲ καὶ οἷος
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
χάρμῃ γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ.

Poseidon führt die Schaaren der Achäer an. Hektor wird vom Ajax niedergeworfen.

Ιλ. ξ. 352—432.

Ὣς ὁ μὲν ἀτρέμας εὖδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ,
ὕπνῳ καὶ Φιλότητι δαμείς, ἔχε δ' ἀγκὰς ἄκοιτιν.
βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος ὕπνος,
ἀγγελίην ἐρέων γαιήοχῳ Ἐννοσιγαίῳ.
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Πρόφρων νῦν Δαναοῖσι, Ποσείδαον ἐπάμυνε,
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὖδει
Ζεύς· ἔπει αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμ' ἐκάλυψα·
Ἥρη δ' ἐν Φιλότητι παρήπαφεν εὐνηθῆναι.
Ὣς εἰπών, ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων·
τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν

αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·

'Αργεῖοι, καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην,
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ καὶ κῦδος ἄρηται;
ἀλλ' ὁ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὔνεκ' 'Αχιλλεὺς
νηυσὶν ἐπὶ γλαφυρῇσι μένει κεχολωμένος ἦτορ.
κείνου δ' οὔτι λίην ποθὴ ἔσσεται, εἴκεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
ἀσπίδες ὅσσαι ἄριστα ἐνὶ στρατῷ ἠδὲ μέγιστα,
ἐσσάμενοι, κεφαλὰς δὲ παναίθῃσιν κορύθεσσιν
κρύψαντες, χερσίν τε τὰ μακρότατ' ἔγχε' ἑλόντες,
ἴομεν· [1]) αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ' ἔτι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν, μάλα περ μεμαῶτα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
τοὺς δ' αὐτοὶ βασιλῆες ἑκόσμεον, οὐτάμενοί περ,
Τυδείδης, 'Οδυσεύς τε καὶ 'Ατρείδης 'Αγαμέμνων·
οἰχόμενοι δ' ἐπὶ πάντας 'Αρήϊα τεύχε' ἄμειβον.
ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκεν. [2])
αὐτὰρ ἐπεί ῥ' ἔσσαντο περὶ χροΐ νώροπα χαλκόν,

1) Hom. Form st. ἴωμεν. 2) Aor. 2. st. ἔδων δόσκον.

βὰν δ' ἴμεν· ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων,
δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ.
εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
ἐν δαΐ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμει Φαίδιμος Ἕκτωρ.
δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν
κυανοχαῖτα Ποσειδάων καὶ Φαίδιμος Ἕκτωρ,
ἤτοι ὁ μὲν Τρώεσσιν, ὁ δ' Ἀργείοισιν ἀρήγων.
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγειῇ·
οὔτε πυρὸς τόσσος γε πέλει βρόμος αἰθομένοιο,
οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
οὔτ' ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισιν
ἠπύει, ὅστε μάλιστα μέγα βρέμεται χαλεπαίνων·
ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνή,
δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε Φαίδιμος Ἕκτωρ
ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ' ἀφάμαρτεν,
τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην
ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ Φασγάνου ἀργυροήλου·
τώ οἱ ῥυσάσθην τέρενα χρόα. χώσατο δ' Ἕκτωρ,
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός.
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, Κῆρ' ἀλεσίνων.

τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας
χερμαδίῳ, [1]) τά ῥα πολλά, θοάων ἔγχματα νηῶν,
πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο· τῶν ἓν ἀείρας,
στῆθος βεβλήκει ὑπὲρ ἄντυγος, ἀγχόθι δειρῆς·
στρόμβον δ' ὡς ἔσσευε βαλών, περὶ δ' ἔδραμε πάντῃ.
ὡς δ' ὅθ' ὑπὸ πληγῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
πρόῤῥιζος, δεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
ἐξ αὐτῆς· τὸν δ' οὔπερ ἔχει θράσος, ὅς κεν ἴδηται,
ἐγγὺς ἐὼν· χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός·
ὡς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσιν.
χειρὸς δ' ἔκβαλεν ἔγχος, ἐπ' αὐτῷ δ' ἀσπὶς ἐάφθη,
καὶ κόρυς· ἀμφὶ δὲ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,
ἐλπόμενοι ἑρύεσθαι, ἀκόντιζον δὲ θαμειὰς
αἰχμάς· ἀλλ' οὔτις ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι, οὔτε βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι
Πουλυδάμας τε καὶ Αἰνείας καὶ δῖος Ἀγήνωρ,
Σαρπηδών τ', ἀρχὸς Λυκίων, καὶ Γλαῦκος ἀμύμων.

1) χερμαδίῳ. Es sollte fortgehen στῆθος βεβλήκει; doch der Zusatz τά ῥα πολλά unterbricht die Construction.

τῶν δ' ἄλλων οὔτις εὖ [1]) ἀκήδεσεν, ἀλλὰ πάροιθεν
ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ. [2]) τὸν δ' ἄρ' ἑταῖροι
χερσὶν ἀείραντες Φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
ὠκέας, ἡνιόχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόνγε προτὶ ἄστυ Φέρον βαρέα στενάχοντα.

Zeus sendet den Apollò zu dem Heere um, nach Entfernung Poseidons, dem Hektor und den Trojanern Muth einzuflöfsen.

Il. o. 218—305.

Ὣς εἰπὼν, λίπε λαὸν Ἀχαιϊκὸν Ἐννοσίγαιος·
δῦνε δὲ πόντον ἰών, πόθεσαν δ' ἥρωες Ἀχαιοί.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
Ἔρχεο νῦν, Φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο [3]) καὶ ἄλλοι,
οἵπερ ἐνέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες.

1) aus ἕο gewöhnlich οὗ. Keiner war ohne Sorge (ἀκήδεσεν) für ihn (ἕο) *nemo non curam ejus gerebat.* 2) πάροιθεν gehört zu αὐτοῦ, vor ihn. 3) κε ἐπύθοντο bedingt. Man denke hinzu: „wenn er da blieb" — so vernahmen, so hätten vernommen etc. So auch bald ἔπειὶ οὔ κεν ἐτελέσθη.

ἀλλὰ τόδ' ἡμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἶ αὐτῷ
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξεν
χεῖρας ἐμάς· ἐπεὶ οὔ κεν ἀνιδρωτί γ' ἐτελέσθη.
ἀλλὰ σύγ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσσανόεσ-
σαν,
τὴν μάλ' ἐπισσείων, Φοβέειν ἥρωας Ἀχαιούς.
σοὶ δ' αὐτῷ μελέτω, Ἑκατηβόλε, Φαίδιμος
Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν
Ἀχαιοὶ
Φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ' αὐτὸς ἐγὼ Φράσομαι ἔργον τε ἔπος τε,
ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο.
Ὣς ἔφατ'· οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν
Ἀπόλλων.
βῆ δὲ κατ' Ἰδαίων ὀρέων, ἴρηκι ἐοικὼς
ὠκέϊ, Φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεηνῶν·
εὗρε δ' υἱὸν [1]) Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον,
ἥμενον, οὐδ' ἔτι κεῖτο· νέον δ' ἐσαγείρατο θυμόν,
ἀμφὶ ἒ γιγνώσκων ἑτάρους· ἀτὰρ ἆσθμα καὶ
ἱδρὼς
παύετ', ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
ἀγχοῦ δ' ἱστάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ'
ἄλλων
ἧσ' ὀλιγηπελέων; ἦ που τί σε κῆδος ἱκάνει;
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος
Ἕκτωρ·

1) Vulgo σὺρ' υἱὸν. υἱὸς die erste kurz Il. ζ, 130. ν, 47. λ, 200. und gleich nachher ο, 244.

τίς δὲ σύ ἐσσι, Φέριστε θεῶν, ὅς μ' εἴρεαι ἄντην;
οὐκ ἀΐεις, ὅ [1]) με νηυσὶν ἔπι πρύμνῃσιν Ἀχαιῶν,
οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας
χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς;
καὶ δὴ ἔγωγ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀΐδαο
ἤματι τῷδ' ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἧτορ. [2])
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον· ὅς σε πάρος περ
ῥύομ', ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ' ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσιν,
νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·
αὐτὰρ ἐγὼ προπάροιθε νιῶν, ἵπποισι κέλευθον
πᾶσιν λειανέω, τρέψω δ' ἥρωας Ἀχαιούς.
Ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν·
ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,

1) ὅ bey Homer häufig noch statt ὅτι, was aus ὅ, ὅ, τι entstanden ist. 2) ἀΐω geht offenbar neben ἀέω aus ἄω hervor; ursprünglich hauchen, aushauchen, welche Bedeutung es hier behält: ἐπεὶ φίλον ἄϊον ἧτορ, da ich mein Leben aushauchte, aufgab. — Die gewöhnliche Bedeutung bemerken, empfinden, ist aus der des Hauchens unmittelbar hervorgegangen; beydes sind beym Homer verwandte Begriffe.

δεσμὸν ἐπιῤῥήξας ϑείῃ [1]) πεδίοιο κροαίνων,
εἰωϑὼς λούεσϑαι ἐϋῤῥεῖος ποταμοῖο,
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσονται· ὁ δ' ἀγλαΐῃφι πεποιϑώς,
ῥίμφα ἑ γοῦνα φέρει μετά τ' ἤϑεα καὶ νομὸν ἵππων·
ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα,
ὀτρύνων ἱππῆας, ἐπεὶ ϑεοῦ ἔκλυεν αὐδήν.
οἱ δ', ὥςτ' ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·
τόν μέν τ' ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
εἰρύσατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·
τῶν δέ ϑ' ὑπὸ ἰαχῆς ἐφάνη λῖς ἠϋγένειος
εἰς ὁδόν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας·
ὣς Δαναοὶ εἶως μὲν ὁμιλαδὸν αἰὲν ἔποντο,
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·[2])
αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ' ἐποιχόμενον στίχας ἀνδρῶν,
τάρβησαν, πᾶσίν τε παραὶ ποσὶ κάππεσε θυμός.[3])

Τοῖσι δ' ἔπειτ' ἄγόρευε Θόας, Ἀνδραίμονος υἱός,
Αἰτωλῶν ὄχ' ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,
ἐσϑλὸς δ' ἐν σταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύϑων·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·

1) st. ϑέῃ von ϑέω. der Conj. wegen der Vergleichung. 2) ἀμφίγυος aus γόος nach bekannter Umwandlung des o in υ, leidenreich. 3) κατέπεσε.

Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
οἷον δ' αὖτ' ἐξαῦτις ἀνέστη, Κῆρας ἀλύξας,
Ἕκτωρ! ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου
χερσὶν ὑπ' Αἴαντος θανέειν Τελαμωνιάδαο.
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν·
ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται, ὧδε μενοινῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ' εἶναι,
στείομεν, [1]) ὥς κε πρῶτον ἐρύξομεν [2]) ἀντιάσαντες,
δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω, καὶ μεμαῶτα,
θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
οἱ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον, Μηριόνην τε, Μέγην τ', ἀτάλαντον Ἄρηϊ,
υἱσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.

1) στείομεν 2 Aor. conj. st. στέωμεν, στέω, Nebenform zu στάω, ἵστημι, wie bey uns stehn und alt stahn. 2) Hom. Form st. ἐρύξωμεν wegen ὥς κεν.

Achilles über den Tod seines Freundes Patroclos trauernd geht in die Schlacht um ihn zu rächen.

Il. τ. v. 303—424.

Αὐτὸν [1]) δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο
λισσόμενοι δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων·
Λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ' ἑταίρων,
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
ἄσασθαι· φίλον ἦτορ· ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει.
δύντα δ' ἐς ἠέλιον [2]) μενέω, καὶ τλήσομαι ἔμπης.
Ὡς εἰπὼν ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας·
δοιὼ δ' Ἀτρεΐδα μενέτην, καὶ δῖος Ὀδυσσεύς,
Νέστωρ, Ἰδομενεύς τε, γέρων θ' ἱππηλάτα Φοῖνιξ,
τέρποντες πυκινῶς ἀκαχήμενον· οὐδέ τι θυμῷ
τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
μνησάμενος δ' ἀδινῶς ἀνενείκατο, [3]) φώνησέν τε·
Ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,
αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοί,
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα·
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος· αὐτὰρ ἐμὸν κῆρ

1) Ἀχιλλῆα. 2) bis zur untergehenden S.
3) ἀνενείκατο. Die alten Erklärer verstehen πνεῦμα στοναχὰς ἐκ στήθους, häufig holte er Athem, Seufzer aus tiefer Brust, wie *suspiria ducere.*

ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
σῇ ποθῇ· οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι·
οὐδ' εἰ καὶ [1]) τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
ὅς που νῦν φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
χήτει τοιοῦδ' υἷος· ὁ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ
εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω·
ἠὲ τόν, ὅς Σκύρῳ μοι ἐνὶ τρέφεται φίλος υἱός,
εἴ που ἔτι ζώει γε, Νεοπτόλεμος θεοειδής.
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει,
οἷον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε φθίηδε νέεσθαι,
ὥς ἄν μοι τὸν παῖδα θοῇ ἐνὶ νηῒ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις, καί οἱ δείξειας ἕκαστα,
κτῆσιν ἐμήν, δμῳάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ' ὀΐομαι ἢ κατὰ πάμπαν
τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκαχῆσθαι,
γήραϊ τε στυγερῷ, καὶ ἐμὴν ποτιδεγμένον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται.
Ὣς ἔφατο κλαίων· ἐπὶ δ' ἐστενάχοντο γέροντες,
μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον.
μυρομένους δ' ἄρα τούσγε ἰδὼν ἐλέησε Κρονίων,
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος. [2])

1) εἰ καὶ. Gewöhnlich εἰ κεν, was durchaus keinen Optativ verträgt. 2) ἑός, ἑῆος.

ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ Φρεσὶ μέμβλετ' [1])
Ἀχιλλεύς;
κεῖνος ὅγε προπάροιθε νεῶν ὀρθοκραιράων
ἧσται ὀδυρόμενος ἕταρον Φίλον· οἱ δὲ δὴ ἄλλοι
οἴχονται μετὰ δεῖπνον, ὁ δ' ἄκμηνος καὶ ἄπαστος.
ἀλλ' ἴθι οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται.
Ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
ἡ δ' ἄρπη εἰκυῖα τανυπτέρυγι, λιγυφώνῳ,
οὐρανοῦ ἐκ κατέπαλτο διὰ αἰθέρος· αὐτὰρ Ἀχαιοὶ
αὐτίκα θωρήσσοντο κατὰ στρατόν· ἡ δ' Ἀχιλῆϊ
νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν
στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γούνατ' ἵκοιτο·
αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
ᾤχετο· τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέωνται,
ψυχραί, ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο·
ὡς τότε ταρφειαὶ κόρυθες, λαμπρὸν γανόωσαι,
νηῶν ἐκφορέοντο, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
θώρηκές τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσέ τε πᾶσα περὶ χθὼν
χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶν
ἀνδρῶν· ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς.
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκεν
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·

1) μέλω.

δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν.
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον,
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε
εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας γένετ', ἠΰτε μήνης.
ὡς δ' ὅτ' ἂν ἐκ πόντοιο σέλας ναύτῃσι φανείῃ [1])
καιομένοιο πυρός· τὸ δὲ καίεται ὑψόθ' ὄρεσφιν,
σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·
ὡς ἀπ' Ἀχιλλῆος σακέος σέλας αἰθέρ' ἵκανεν
καλοῦ, δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρας
κρατὶ θέτο βριαρήν· ἡ δ', ἀστὴρ ὥς, ἀπέλαμπεν
ἵππουρις τρυφάλεια· περισσείοντο δ' ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἴει λόφον ἀμφὶ θαμειάς.
πειρήθη δ' ἔο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς.
εἰ οἱ ἐφαρμόσσειε, καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῷ δ' αὖτε πτερὰ γίγνετ', ἄειρε δὲ ποιμένα λαῶν.
ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος,
βριθὺ, μέγα, στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἷος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.

1) φαίνω. Gewöhnlich φανήῃ. Siehe Index s. h. v.

ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἔσαν· ἐν δὲ χαλινοὺς
γαμφηλῆς ἔβαλον, κατὰ δ' ἡνία τείναν ὀπίσσω
κολλητὸν ποτὶ δίφρον. ὁ δὲ μάστιγα φαεινὴν
χειρὶ λαβὼν ἀραρυῖαν, ἐφ' ἵπποιϊν ἀνόρουσεν,
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεύς,
τεύχεσι παμφαίνων, ὥςτ' ἠλέκτωρ Ὑπερίων.
σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
Ξάνθε τε καὶ Βάλιε, τηλεκλυτὰ τέκνα Ποδάργης,
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεὶ χ' ἑῶμεν [1]) πολέμοιο·
μηδ', ὡς Πάτροκλον, λίπετ' αὐτοῦ τεθνηῶτα!
Τόν δ' ἄρ' ὑπὸ ζυγόφι προσέφη πόδας αἰόλος ἵππος,
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι· πᾶσα δὲ χαίτη,
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανεν·
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
Καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἡμεῖς
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ Μοῖρα κραταιή.

1) ἑῶμεν 2 Aor. conj. v. ἵημι, in der Bedeutung des verwandten μεθίημι, Wenn (ἐπεί κε) wir nachlassen vom Kriege.

οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτι τε νωχελίῃ τε
Τρῶες ἀπ' ὤμοιϊν Πατρόκλου τεύχε' ἔλοντο·
ἀλλὰ θεῶν ὥριστος, [1]) ὃν ἠΰκομος τέκε Λητώ,
ἔκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκεν.
νῶϊ δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
ἥνπερ ἐλαφροτάτην φάσ' ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ
μόρσιμόν ἐστι, θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.
Ὣς ἄρα φωνήσαντος Ἐριννύες ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
εὖ νύ τοι οἶδα καὶ αὐτός, ὅ [2]) μοι μόρος ἐνθάδ' ὀλέσθαι,
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
οὐ λήξω, πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο.
Ἦ ῥα καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵπ-
πους.

1) st. ὁ ἄριστος. Der Sp. asp. geht beym Anschwellen des Vocals in den Lenis über. 2) ὅ st. ὅτι, dafs mir (μόρος sc. ἐστι) bestimmt ist etc.

Achilles hat den Hektor im Zweykampf getödtet. Schilderung der Rachbegier des Siegers und der Trauer in Troja.

Il. χ. 376—516.

Τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν·
Ὦ Φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
ὃς κακὰ πόλλ' ἔρρεξεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι·
εἰ δ' ἄγετ', ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν,
ὄφρα κ' ἔτι γνῶμεν Τρώων νόον, ὅντιν' ἔχουσιν·
ἢ καταλείψουσιν πόλιν ἄκρην, τοῦδε πεσόντος,
ἠὲ μένειν μεμάασι, καὶ Ἕκτορος οὐκέτ' ἐόντος.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος, ἄθαπτος,
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε
ζωοῖσιν μετέω, καί μοι φίλα γούνατ' ὀρώρῃ.
Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
νῦν δ' ἄγ', ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν·
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ἄστυ, θεῷ ὡς, εὐχετόωντο.
Ἦ ῥα καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα.
ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε

ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασεν·
ἐς δίφρον δ' ἀναβάς, ἀνά τε κλυτὰ τεύχε' ἀείρας,
μάστιξεν δ' ἐλάᾳν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην.
τοῦ δ' ἦν ἐλκομένοιο κονίσσαλος· ἀμφὶ δὲ χαῖται
κυάνεαι πίλναντο, κάρη δ' ἅπαν ἐν κονίῃσιν
κεῖτο, πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσιν
δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.
Ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόσε· κώκυσεν δὲ μάλα μέγα, παῖδ' ἐσιδοῦσα.
ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ Φίλος, ἀμφὶ δὲ λαοὶ
κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ·
τῷ δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.
λαοὶ μὲν ῥα γέροντα μόλις ἔχον ἀσχαλόωντα,
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
πάντας δ' ἐλλιτάνευε, κυλινδόμενος κατὰ κόπρον,
ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον·
Σχέσθε, φίλοι, καί μ' οἷον ἐάσατε, κηδόμενοί περ,
ἐξελθόντα πόληος, ἰκέσθ' ἐπὶ νῆας Ἀχαιῶν,
λισσωμ' ἀνέρα τοῦτον ἀτάσθαλον, ὀβριμοεργόν,
ἤν πως ἡλικίην αἰδέσσεται, [1]) ἠδ' ἐλεήσῃ

1) αἰδέσσεται. Hom. Form des Aor. st. αἰδέσσηται wegen ᾖν aus ἐὰν.

γῆρας· καὶ δέ νυ τῷδε πατὴρ τοιόσδε τέτυκται,
Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε, πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκεν.
Τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθόωτας·
τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
Ἕκτορος· ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῇσιν!
τῷ κε κορεσσάμεθα κλαίοντέ τε, μυρομένω τε,
μήτηρ θ', ἥ μιν ἔτικτε, δυσάμμορος, ἠδ' ἐγὼ αὐτός.
Ὡς ἔφατο κλαίων· ἐπὶ δ' ἐστενάχοντο πολῖται·
Τρωῇσιν δ' Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
Τέκνον, ἐγὼ δειλὴ τί νυ βείομαι, [1]) αἰνὰ παθοῦσα,
σεῦ ἀποτεθνηῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὀνείαρ,
Τρωσί τε καὶ Τρωῇσι κατὰ πτόλιν, οἵ σε, θεὸν ὡς,
δείδεχατ'· [2]) ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἔῃσθα,
ζωὸς ἐών· [3]) νῦν αὖ θάνατος καὶ Μοῖρα κιχάνει.
Ὡς ἔφατο κλαίουσ'· ἄλοχος δ' οὔπω τι πέπυστο

1) βέομαι. 2) δέχομαι. Plusq. 3. p. (δέδεχτο).
3) Lebend, bliebst du am Leben, κεν ἔῃσθα, so warest du, würdest du gewesen seyn etc.

Ἕκτορος· οὐ γάρ οἱ τις ἐτήτυμος ἄγγελος ἐλ-
θὼν
ἤγγειλ', ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων·
ἀλλ' ἤγ' ἱστὸν ὕφαινε, μυχῷ δόμου ὑψηλοῖο,
δίπλακα πορφυρέην, ἐν δὲ Θρόνα ποικίλ' ἔπασ-
σεν.
κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ
δῶμα,
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέ-
λοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοστήσαντι·
νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν μάλα τῆλε λοετρῶν
χερσὶν Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη.
κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου,
τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερ-
κίς.
ἡ δ' αὖτις δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα·
Δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ', ὅτιν' ἔργα
τέτυκται.
αἰδοιῆς ἑκυρῆς ὀπὸς ἔκλυον· ἐν δ' ἐμοὶ αὐτῇ
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ
γοῦνα
πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλ'
αἰνῶς
δείδω, μὴ δή μοι Θρασὺν Ἕκτορα δῖος Ἀχιλ-
λεύς,
μοῦνον ἀποτμήξας πόλιος, πεδίονδε δίηται,
καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
ἥ μιν ἔχεσκ'· ἐπεὶ οὔποτ' ἐνὶ πληθύϊ μένεν ἀν-
δρῶν,
ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.

Ὣς φαμένη μεγάροιο διέσσυτο, μαινάδι ἴση,
παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἵξεν ὅμιλον
ἔστη παπτήνασ' ἐπὶ τείχεϊ· τὸν δ' ἐνόησεν
ἐλκόμενον πρόσθεν πόλιος· ταχέες δέ μιν ἵπποι
ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν·
ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν.
τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
ἄμπυκα, κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην,
κρήδεμνόν θ', ὅ ῥά οἱ δῶκε χρυσέη Ἀφροδίτη,
ἤματι τῷ, ὅτε μιν κορυθαίολος ἠγάγεθ' Ἕκτωρ
ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μύρια ἕδνα.
ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔσταν
αἳ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
ἣ δ' ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἀμβλύδην γοόωσα, μετὰ Τρωῇσιν ἔειπεν·
Ἕκτορ, ἐγὼ δύστηνος, ἰῇ ἄρα γείναμεθ' αἴσῃ
ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβῃσιν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
ἐν δόμῳ Ἠετίωνος, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν,
δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
νῦν δὲ σὺ μὲν Ἄϊδαο δόμους, ὑπὸ κεύθεσι γαίης,
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις
χήρην ἐν μεγάροισι· πάϊς δ' ἔτι νήπιος αὔτως,

ὄν τέκομεν σύ τ' ἐγώ τε, δυςάμμοροι· οὔτε σὺ τούτῳ
ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.
ἦν γὰρ δὴ πόλεμόν γε Φύγῃ πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτῳ γε πόνος καὶ ηήδε' ὀπίσσω
ἔσσοντ'· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν [1]) ἀρούρας.
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησιν·
πάντα δ' ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί.
δευόμενος δέ τ' ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχεν,
χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνεν.
Τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξεν,
χερσὶν πεπληγὼς καὶ ὀνειδείοισιν ἐνίσσων·
ἔρρ' οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.
δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην
Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς
μυελὸν οἷον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν.
αὐτὰρ ὅθ' ὕπνος ἔλοι, παύσαιτό τε νηπιαχεύων,
εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
εὐνῇ ἔνι μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ.
νῦν δ' ἂν πολλὰ πάθῃσι, φίλου ἀπὸ χειρὸς ἁμαρτών,
Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·

1) ἀφορίζω. S. d. Index.

οἷος γάρ [1]) σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
νῦν δέ σε μὲν παρὰ νηυσὶ κορωνίσι νόσφι τοκήων,
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
γυμνόν· ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται,
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυ-
ναικῶν.
ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
οὐδὲν σοίγ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δέ στενάχοντο
γυναῖκες.

Priamos ist vom Hermes geleitet bis zu dem Zelte des Achilles gekommen, um den Leichnam Hektors von diesem zu erbitten. Er läfst den Wagen und den Wagenführer zurück und begibt sich in das Zelt.

Ιλ. ω. 471—675.

γέρων δ' ἰθὺς κίεν οἴκου,
τῇ ῥ' Ἀχιλεὺς ἵζεσκε, Διὶ φίλος· ἐν δέ μιν
αὐτὸν
εὗρ'· ἕταροι δ' ἀπάνευθε καθείατο· [2]) τῷ δὲ
δύ' οἴω,
ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος, ὄζος Ἄρηος,

1) Die Troer nannten ihn den Stadtbeschirmer, aus Dankbarkeit gegen den Vater, dessen Verdienst auf den Sohn übertragend und ähnliches von ihm erwartend. 2) καθῆντο — καθεῖντο — ατο.

πρίπνυον παρεόντε· νέον δ' ἀπέληγεν ἐδωδῆς,
ἔσθων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα.
τοὺς δ' ἔλαθ' εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ' ἄρα στὰς
χερσὶν Ἀχιλλῆος λάβε γούνατα, καὶ κύσε χεῖ-
ρας
δεινὰς ἀνδροφόνους, αἳ οἱ πολέας κτάνον υἷας.
ὡς δ' ὅτ' ἂν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅστ' ἐνὶ πάτρῃ
φῶτα κατακτείνας, ἄλλων ἐξίκετο δῆμον,
ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰσορόωντας·
ὣς Ἀχιλεὺς θάμβησεν, ἰδὼν Πρίαμον θεοειδέα·
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπεν·
Μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ' Ἀχιλ-
λεῦ,
τηλίκου, ὥσπερ ἐγώ, ὀλοῷ ἐπὶ γήραος οὐδῷ.
καί μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
τείρουσ', οὐδέ τις ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦ-
ναι·
ἀλλ' ἤτοι κείνός γε, σέθεν ζώοντος ἀκούων,
χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθε μολόντα.
αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρί-
στους
Τροίῃ ἐν εὐρείῃ· τῶν δ' οὔτινά φημι λελεῖφθαι.
πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν·
ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖ-
κες.
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυ-
σεν·

ὅς δέ μοι οἷος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτούς,
τὸν σὺ πρώην κτείνας, ἀμυνόμενον περὶ πάτρης,
Ἕκτορα· τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν,
λυσόμενος παρὰ σεῖο· φέρω δ' ἀπερείσι' ἄποινα.
ἀλλ' αἰδεῖο θεούς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
μνησάμενος σοῦ πατρός· ἐγὼ δ' ἐλεεινότερός περ,
ἔτλην δ', οἷ' οὔπω τις ἐπιχθόνιος βροτὸς ἄλλος,
ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι.
Ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο·
ἁψάμενος δ' ἄρα χειρὸς ἀπώσατο ἦκα γέροντα.
τὼ δὲ μνησαμένω, ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο,
κλαῖ' ἀδινά, προπάροιθε ποδῶν Ἀχιλῆος ἑλυσθείς·
αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δῶμα τ' ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς,
αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
οἰκτείρων πολιόν τε κάρη, πολιόν τε γένειον·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἆ δείλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἷος,
ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.

ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου· ἄλγεα δ' ἔμπης
ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ.
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει,
δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δέ, ἐάων·
ᾧ μέν κ' ἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκεν·
καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·
φοιτᾷ δ', οὔτε θεοῖσι τετιμένος, οὔτε βροτοῖσιν.
ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο
ὄλβῳ τε, πλούτῳ τε, ἄνασσέ τε Μυρμιδόνεσσιν·
καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν·
ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακόν, ὅττι οἱ οὔτι
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων.
ἀλλ' ἕνα παῖδα τέκεν πανάωριον· οὐδέ νυ τόνγε
γηράσκοντα κομίζω· ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων ἠδὲ σὰ τέκνα.
καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει,
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπει-

τῶν σε, γέρον, πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.
αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον Οὐρανίωνες,
αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε·
ἄνσχεο, [1]) μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἱος ἑῆος,
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
μή με πω ἐς θρόνον ἷζε, Διοτρεφές, ὄφρα κεν Ἕκτωρ
κέηται ἐνὶ κλισίῃσιν ἀκηδής· ἀλλὰ τάχιστα
λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω·, σὺ δὲ δέξαι ἄποινα
πολλά, τά τοι φέρομεν· σὺ δὲ τῶνδ' ἀπόναιο,
καὶ ἔλθοις
σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
μηκέτι νῦν μ' ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸς
Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθεν
μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
καὶ δέ σε γιγνώσκω, Πρίαμε, φρεσίν, οὐδέ με λήθεις,
ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,

1) ἀνάσχεο 2 Aor. Imp. ἀνέχομαι.

ἐς στρατόν· οὐδὲ γὰρ ἂν Φυλάκους λάθοι, οὐδέ κ' ἀχῆας
ἑξεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ἀρίνῃς·
μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω,
καὶ ἱκετήν περ ἐόντα, Διός τ' ἀλίτωμαι ἐφετμάς.
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.
Πηλείδης δ' οἵκοιο, λέων ὥς, ἅλτο θύραζε,
οὐκ οἶος· ἅμα τῷγε δύω θεράποντες ἕποντο,
ἥρως Αὐτομέδων ἠδ' Ἄλκιμος, οὕς ῥα μάλιστα
τῖ' Ἀχιλεὺς ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
οἵ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἠμιόνους τε,
ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος·
κὰδ δ' ἐπὶ δίφρου εἶσαν· ἐϋξέστου δ' ἀπ' ἀπήνης
ᾕρεον Ἕκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
κὰδ δ' ἔλιπον δύο φάρε', ἐϋννητόν τε χιτῶνα,
ὄφρα νέκυν πυκάσας δώῃ οἶκόν δε φέρεσθαι.
δμῳὰς δ' ἐκκαλέσας λοῦσαι κέλετ', ἀμφί τ' ἀλεῖψαι,
νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν·
μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο,
παῖδα ἰδών, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ,
καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτοιτο ἐφετμάς.
τὸν δ' ἐπεὶ οὖν δμῳαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα,
αὐτὸς τόνγ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,

σὺν δ' ἔταροι ἤειραν ἐϋξέστην ἐπ' ἀπήνην.
ὤμωξεν τ' ἄρ' ἔπειτα, Φίλον δ' ὀνόμηνεν ἑταῖρον·

Μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴ κε πύθηαι
εἰν Ἄϊδός περ ἐών, ὅτι Ἕκτορα δῖον ἔλυσα
πατρὶ Φίλῳ· ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα·
σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσσ' ἐπέοικεν.

Ἦ ῥα καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς.
ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·

Υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
κεῖται δ' ἐν λεχέεσσ'· ἅμα δ' ἠοῖ φαινομενῇφιν
ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῇπερ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἠβώοντες.
τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρῄῳ·
φῇ δοιὼ τεκέειν, ἣ δ' αὐτὴ γείνατο πολλούς·
τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ὄλεσσαν.
οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων.
τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.
ἣ δ' ἄρα σίτου μνήσατ' ἔπειτα κάμε δακρυχέουσα.

νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνάς
Νυμφάων, αἵτ' ἀμφ' Ἀχελώϊον ἑρρώσαντο,
ἔνθα λίθος περ ἐοῦσα, θεῶν ἐκ κήδεα πέσσει.
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιέ,
σίτου, ἔπειτά κεν αὖτε φίλου παῖδα κλαίῃσθα,
Ἴλιον εἰς ἀγαγών· πολυδάκρυτος δέ τοι ἔσται.
Ἦ καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
μίστυλλόν τ' ἄρ' ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησαν δὲ περιφραδέως, ἐρύσαντο δὲ πάντα.
Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἓν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδήτυος ἐξ ἔρον ἕντο,
ἦτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει.
αὐτὰρ ὁ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεύς,
εἰσορόων ὄψιν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων.
αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
Λέξον νῦν με τάχιστα, διοτρεφές, ὄφρα κεν ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες.
οὐ γάρ πω, μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,

ἐξ οὗ σῇς ὑπὸ χερσὶν ἐμὸς παῖς ὤλεσε θυμόν·
ἀλλ' αἰεὶ στενάχω καὶ κηδέα μυρία πέσσω,
αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
νῦν δὴ καὶ σίτου πασάμην, καὶ αἴθοπα οἶνον
λαυκανίης καθέηκα· πάρος γε μὲν οὔτι πεπάσμην.

Ἦ ῥ', Ἀχιλεὺς δ' ἑτάροισιν ἰδὲ δμωῇσι κέλευσεν,
δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἔσασθαι.
αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι·
αἶψα δ' ἄρα στόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

Ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε· μήτις Ἀχαιῶν
ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵτε μοι αἰεὶ
βουλὰς βουλεύουσι παρήμενοι, ἧῗ θέμις ἐστίν·
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένοιτο.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.

Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πριάμος θεοειδής·
εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.

οἶσθα γὰρ ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν.
ἐννῆμαρ μὲν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαίνυτό τε λαός·
ἑνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴπερ ἀνάγκη.
Τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
ἔσται τοι καὶ ταῦτα, γέρον Πριάμ', ὡς σὺ κελεύεις.
σχήσω γὰρ τόσσον πόλεμον χρόνον, ὅσσον ἄνωγας.
Ὣς ἄρα φωνήσας, ἐπὶ καρπῷ χεῖρα γέροντος
ἔλλαβε δεξιτερήν, μήπως δείσει' ἐνὶ θυμῷ.
οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,
κήρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες.
αὐτὰρ Ἀχιλλεὺς εὖδε μυχῷ κλισίης εὐπήκτου.

IV.

Idyllia. *)

I. Κωμαστής.

(Theocrit. Eid. III.)

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα· ταὶ δέ μοι αἶγες
βόσκονται κατ' ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.

*) Die meisten dieser Idyllien sind im dorischen Dialekte geschrieben, so wie sich dieser in Sicilien ausgebildet. In demselben wird η häufig in α, das zusammengezogene α hingegen in η verwandelt (ῥῆς, ὄρη); ου in ευ (σεῦ und τεῦ st. σοῦ), auch in οι (τίπτοισα, Μοῖσα) und in ω (λόγω, τὼς st. τούς, Μῶσα). ζ wird in σδ aufgelöst (κωμάσδω σερίσδω). Im futuro I. geht σ oft in ξ über, und die Endsylbe wird circumflectirt, γελαξῶ, und daher im fut. I. med. κεισεῦμαι st. κείσομαι, πευσεῖσθε st. πεύσεσθε, ἐσσεῖται st. ἔσσεται. Die erste Person des Plural. im activo wird auf μες geendigt (τύπτομες, ἔ ϑωμες), die dritte plur. in ντι (καλέοντι, Φαντί). Eigenthümlich sind diesem Dialekte auch die Wortformen τῆνος st. ἐκεῖνος (τηνῶϑε st. ἐκεῖϑεν), ὄνα, τόνα und πόνα st. ὅτε, τότε und πότε, αἰ st. εἰ, ποτὶ st. πρός.

Τίτυρ', ἐμὶν [1]) τὸ καλὸν πεφιλαμένε, βόσκε τὰς αἶγας.
καὶ ποτὶ τὰν κράναν ἄγε, Τίτυρε· καὶ τὸν ἐνόρχαν
τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τυ [2]) κορύξῃ.
Ὦ χαρίεσσ' Ἀμαρυλλί. τί μ' οὐκ ἔτι τοῦτο κατ' ἄντρον
παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἢ ῥά με μισεῖς;
ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμεν,
Νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποιησεῖς.
Ἥνιδε τοι δέκα μᾶλα φέρω· τηνῶθε καθείλου,
ὥ [3]) μ' ἐκέλευ καθελεῖν τύ· [4]) καὶ αὔριον ἄλλα τοι οἰσῶ.
Θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος· αἴθε γενοίμαν
ἃ βομβεῦσα μέλισσα, καὶ ἐς τεὸν ἄντρον ἰκοίμαν,
τὸν κισσὸν διαδὺς καὶ τὰν πτέριν, ἃ τὺ πυκάσδῃ.
Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνας
μασδὸν ἐθήλαξε, δρυμῷ τε μιν ἔτραφε μάτηρ·
ὅς με κατασμύχων καὶ ἐς ὀστέον ἄχρις ἰάπτει.
Ὦ τὸ καλὸν ποθορεῦσα, τὸ πᾶν λίθος· ὥ κυανόφρυ

1) st. ἐμοί. 2) st. σε. 3) st. οὔ. 4) σύ.

Νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον, ὥς τυ [2])
Φιλάσω.
Ἔστι καὶ ἐν κενεοῖσι Φιλαμασιν ἀδέα τέρψις.
Τὸν στέφανον τῖλαί με κατ' αὐτίκα λεπτὰ ποιησεῖς,
τόν τοι ἐγών, Ἀμαρυλλὶ Φίλα, κισσοῖο Φυλάσσω,
ἐμπλέξας καλύκεσσι καὶ εἰνόδμοισι σελίνοις.
Ὤ μοι ἐγώ, τί πάθω; τί ὁ δύσσοος; οὐχ ὑπακούεις;
τὰν βαΐταν ἀποδὺς ἐς κύματα τῆνα ἀλεῦμαι,
κἦκα [5]) μὴ ποθάνω, [6]) τό γε μὰν τεὸν ἀδὺ τέτυκται.
Ἔγνων πράν, ὅκα μευ μεμναμένω εἰ Φιλέεις με,
οὐδὲ τὸ τηλέφιλον ποτιμαξάμενον πλατάγησεν,
ἀλλ' αὔτως ἁπαλῷ ποτὶ πάχεϊ ἐξεμαράνθη.
Εἶπε καὶ Ἀγροιὼ τἀλαθέα κοσκινόμαντις,
ἃ πρὰν ποιολογεῦσα παραιβάτις, οὔνεκ' ἐγὼν μὲν
τὶν [7]) ὅλος ἄγκειμαι· τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
Ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα Φυλάσσω,
τάν με καὶ ἁ Μέρμνωνος Ἐριθακὶς ἁ μελανόχρως
αἰτεῖ· καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
Ἄλλεται ὀφθαλμός μευ ὁ δέξιος· ἆρά γ' ἰδησῶ
αὐτάν; ἁσεῦμαι ποτὶ τὰν πίτυν ὥδ' ἀποκλινθείς.

5) st. καὶ αἴ κα i. e. καὶ εἴ κε. 6) st. ἀποθάνω. 7) σοί.

καί κε μ' ἴσως ποτίδοι, ἐπεὶ οὐκ ἀδαμαντίνα ἐντί. [8])
Ἱππομένης, ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
μᾶλ' ἐνὶ χερσὶν ἑλὼν δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἄλλετ' ἔρωτα.
Τὰν ἀγέλαν χ' ὢ μάντις ἄπ' Οἰθρυος ἆγε Μελάμπους
ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίνησιν ἐκλίνθη,
μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίας.
Τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μᾶλα νομεύων
οὐχ οὕτως Ὦδωνις [9]) ἐπὶ πλέον ἄγαγε λύσσας,
ὥστ' οὐδὲ Φθίμενόν νιν ἄτερ μασδοῖο τίθητι;
Ζαλωτὸς μὲν ἐμὶν [10]) ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων. Ζαλῶ δέ, φίλα γύνα, Ἰασίωνα,
ὃς τύσσων ἐκύρησεν, ὅσ' οὐ πευσεῖσθε βέβαλοι.
Ἀλγέω τὰν κεφαλάν· τίν [11]) δ' οὐ μέλει· οὐκέτ' ἀείδω·
κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὥδέ μ' ἔδονται.
ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

8) ἐστί. 9) sc. ὁ Ἄδωνις. 10) ἐμοί. 11) σοί.

2. Κύκλοψ.

(Theocrit. Eid. XI.)

Οὐδὲν ποττὸν [1]) Ἔρωτα πεφύκει Φάρμακον ἄλλο,
Νικία, οὔτ' ἄγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,
ἢ ταὶ [2]) Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἀδὺ
γίνετ' ἐν ἀνθρώποις, εὑρῆν δ' οὐ ῥᾴδιον ἐντί.
γινώσκει [3]) δ' οἶμαί τυ καλῶς, ἰατρὸν ἐόντα,
καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα Μούσαις.
Οὕτω γοῦν ῥᾴϊστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμῖν,
ὠρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,
ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς [4]) κροτάφως τε·
ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίννοις,
ἀλλ' ὁλοαῖς μανίαις· ἀγεῖτο δὲ πάντα πάρεργα.
πολλάκι ταὶ ὄϊες ποτὶ ταὔλιον αὐταὶ ἀπῆνθον [5])
χλωρᾶς ἐκ βοτάνας· ὁ δέ, τὰν Γαλάτειαν ἀείδων,
αὐτῶ ἐπ' ἀϊόνος κατετάκετο φυκιοέσσας,
ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος
Κύπριος ἐκ μεγάλας, ἃ οἱ ἥπατι πᾶξε βελεμνον.
Ἀλλὰ τὸ Φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
ὑψηλᾶς, ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα·

1) πρὸς τόν. 2) αἱ. 3) γινώσκειν. 4) τούς. 5) ἀπῆλθον.

Ὦ λευκὰ Γαλάτεια, τί τὸν Φιλέοντ' ἀποβάλλῃ;
λευκοτέρα παντᾶς πατιδεῖν, ἁπαλωτέρα δ' ἀρνός,
μόσχω γαυροτέρα, Φιαρωτέρα ὄμφακος ὠμᾶς·
Φοιτῇς δ' αὖθ' οὕτως, ὅκκα [6]) γλυκὺς ὕπνος ἔχῃ με,
οἴχῃ δ' εὐθὺς ἰοῖσα, ὅκα γλυκὺς ὕπνος ἀνῇ με.
Φεύγεις δ' ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
Ἠράσθην μὲν ἔγωγε τεοῦς, [7]) κόρα, ἀνίκα πρᾶτον
ἦνθες [8]) ἐμᾷ σὺν ματρί, θέλοισ' ὐακίνθινα φύλλα
ἐξ ὄρεος δρέψασθαι· ἐγὼ δ' ὁδὸν ἀγεμόνευον.
Παυσασθαι δ' ἐσιδὼν τυ καὶ ὕστερον οὐδέ τι πω νῦν
ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί', οὐδέν.
Γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα Φεύγεις·
οὔνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θ' ὥτερον ὡς μία μακρά·
εἷς δ' ὀφθαλμὸς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Ἀλλ' ὠὐτὸς, τοιοῦτος ἐών, βοτὰ χίλια βόσκω,
καὶ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω
τυρὸς δ' οὐ λειπει μ' οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ,
οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
Συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,

6) ὅτε. 7) σοῦ. 8) ἦλθες.

Τίν, τὸ φίλον γλυκύμαλον, ἅμα κἠμαυτὸν ἀείδων
πολλάκι νυκτὸς ἀωρί· τρέφω δέ τοι ἔνδεκα νεβρὼς
πάσας ἀμνοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Ἀλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἐξεῖς οὐδὲν ἔλασσον·
τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρέχθῃν.
ἄδιον ἐν τῶντρῳ παρ' ἐμὶν τᾶν νύκτα διαξεῖς.
Ἔντὶ δάφναι τηνεί, [9]) ἐντὶ ῥαδιναὶ κυπάρισσοι,
ἐντὶ μέλας κίσσος, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος·
ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι· [10])
(τίς κεν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;)
Αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἦμεν, [11])
ἐντὶ δρυὸς ξύλα μοι, καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ.
Καιόμενος δ' ὑπὸ τεῦς [12]) καὶ τὰν ψυχὰν ἀνεχοίμαν,
καὶ τὸν ἔν' ὀφθαλμόν, τῶ [13]) μοι γλυκερώτερον οὐδέν.
Ὤιμοι, ὅτ' οὐκ ἔτικέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
ὡς κατέδυν ποτὶ τίν, καὶ τὰν χέρα τεῦς ἐφίλασα,

9) ἐκεῖ. 10) προΐησι. 11) εἶναι. 12) σεῦ. 13) οὗ.

αἰ μὴ τὸ στόμα λῇς· [14]) ἔφερον δέ τοι ἢ κρίνα λευκά,
ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλοταγώνι' ἔγοισαν.
Ἄλλα τὰ μὲν θέρος, τὰ δὲ γίνεται ἐν χειμῶνι·
ὥστ' οὐκ' ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάσθην.
Νῦν μάν, ὦ κόριον, νῦν αὐτόθι νεῖνγε μαθεῦμαι,
αἰ κα τις σὺν ναΐ πλέων ξένος ὧδ' ἀφίκηται,
ὥς κεν ἴδω, τί ποτ' ἀδὺ κατοικῆν τον βυθὸν ὕμμιν.
Ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο
(ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος) οἰκαδ' ἀπενθεῖν·
Ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν [15]) ἅμα, καὶ γάλ' ἀμέλγειν,
καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
Ἃ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
οὐδὲν πᾷ ποχ' [16]) ὅλως ποτὶ τιν φίλον εἶπεν ὑπὲρ μεῦ,
καὶ ταῦτ', ἄμαρ ἐπ' ἄμαρ ὁρεῦσά [17]) με λεπτὸν ἐόντα.
Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
σφύσδειν, ὡς ἀνιαθῇ, ἐπεὶ κήγὼν ἀνιῶμαι. —
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
αἰ κ' ἐνθῶν ταλάρως τε πλέκοις, καὶ θαλλὸν ἀμάσας

14) i. e. θέλῃς. 15) ἐμοί. 16) ποκα i. e. ποτε. 17) ὁρῶσα.

ταῖς ἄρνεσσι Φέροις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νοῦν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τὸν Φεύγοντα διώκεις;
εὑρησεῖς Γαλάτειαν ἴσως καὶ καλλίον ἄλλαν.
Πολλαὶ συμπαίσδεν [18]) με κόραι τὰν τύνητα κάλονται,
νιχλίσδοντι [19]) δὲ πᾶσαι, ἐπεί κ' αὐταῖς ὑπακοΐσω.
δηλονότ' ἐν τᾷ γᾷ κήγὼν τὶς Φαίνομαι ἦμες· [20])
Οὕτω τοι Πολύφαμος ἐποίμαι εν τὸν ἔρωτα μουσίσδων· ῥᾷον δὲ διᾶγ', ἢ εἰ [21]) χρυσὸν ἔδωκεν.

3. Βουκόλισκος.

(Theocrit. Eid. XX.)

Εὔνικα μ' ἐγέλαξε θέλοντά μιν ἁδὺ Φιλᾶσαι,
καί μ' ἐπικερτομέοισα τάδ' ἔννεπεν· ἦρ' ἀπ' ἐμεῖο·
Βωκόλος ὢν ἐθέλεις με κύσαι, τάλαν; οὐ μεμάθηκα
ἀγροίκως Φιλέειν, ἀλλ' ἀστυκὰ χείλεα θλίβειν.
Μὴ τύ γά μευ κύσσης καλὸν στόμα, μηδ' ἐν ὀνείροις.
Οἷα βλέπεις, ὁπποῖα λαλεῖς, ὡς ἄγρια παίσδεις·
Ὡς τρύφερὸν λαλέεις, ὡς κωτίλα ῥήματα Φράσδεις·

18) συμπαίζειν. 19) νιχλίζουσι. 20) εἶναι. 21) ἢ εἰ wird in eine Sylbe zusammengezogen.

Ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν.
Χείλεά τοι νοσέοντι, [1]) χέρες δέ τοι ἐντὶ [2])
μέλαιναι.
καὶ κακὸν ἐξόσδεις· ἀπ' ἐμεῦ φύγε, μή με μο-
λύνῃς.
Τοιάδε μυθίσδοισα, τρὶς εἰς ἑὸν ἔπτυσε κόλ-
πον,
καί μ' ἀπὸ τᾶς κεφαλᾶς ποτὶ τὼ πόδε συνεχὲς
εἶδεν
χείλεσι μυχθίζοισα, καὶ ὄμμασι λοξὰ βλέποισα·
καὶ πολὺ τᾷ μορφᾷ θηλύνετο, καί τι σεσαρὸς
καὶ σοβαρόν μ' ἐγέλαξεν· ἐμοὶ δ' ἄφαρ ἔζεσεν
αἷμα,
καὶ χρόα Φοινίχθην ὑπὸ τῶλγεος, [3]) ὡς ῥόδον
ἔρσᾳ.
Χ' ἃ μὲν ἔβα με λιποῖσα· φέρω δ' ὑποκάρδιον
ὀργάν,
ὅττι με τὸν χαρίεντα κακα μωμήσαθ' ἑταίρα.
Ποιμένες, εἴπατέ μοι τὸ κρήγυον· οὐ καλὸς
ἐμμὶ;
Ἀρά τις ἰξαπίνας με θεὸς βροτὸν ἄλλον ἔτευξε;
καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπανθεεν ἁδύ τι κάλ-
λος,
ὡς κισσὸς ποτὶ πρέμνον, ἐμὰν δ' ἐπύκαζεν ὑπή-
ναν·
χαῖται δ', οἷα σέλινα, περὶ κροτάφοισι κέχυντο·
καὶ λευκὸν τὸ μέτωπον ἐπ' ὀφρύσι λάμπε με-
λαίναις·
ὄμματά μοι γλαυκᾶς χαροπώτερα πολλὸν
Ἀθάνας·

1) νοσοῦσι. 2) εἰσί. 3) τοῦ ἄλγεος.

τὸ στόμα καὶ πακτᾶς γλυκερώτερον· ἐκ στομά-
των δὲ
ἔρρεέ μοι Φωνὰ γλυκιρώτερα ἢ μελικήρω. 4)
Ἄδὺ δέ μοι τὸ μέλισμα, καὶ ἦν σύριγγι μελίσδω,
κἦν αὐλῷ λαλέω, κἦν δώνακι, κἦν πλαγιαύλῳ.
Καὶ πᾶσαι καλόν με κατ' ὥρεα Φαντὶ γυναῖκες,
καὶ πᾶσαί με Φιλεῦνθ'· 5) ἁ δ' ἀστικὰ οὐκ
ἐφίλασεν,
ἀλλ', ὅτι βωκόλος ἐμμί, παρέδραμε· κ' οὔ-
ποτ' ἀκούει,
ὡς καλὸς Διόνυσος ἐπ' ἄγκεσι πόρτιν ἐλαύνει·
οἶκ ἔγνω δ', ὅτι Κύπρις ἐπ' ἀνέρι μήνατο βώτᾳ,
καὶ Φρυγίης ἐνόμευσεν ἐν ὥρεσιν· αὐτὸν Ἄδω-
νιν
ἐν δρυμοῖσι Φίλασεν· ἀπ' Οὐλύμπω δὲ μολοῖσα
Λάτμιον ἄνναπος ἦλθε καὶ εἰς ἕνα παιδὶ
κάθευδε.
Καὶ τὺ Ῥέα κλαίεις τὸν βωκόλον· οὐχὶ δὲ
καὶ τύ,
Ὦ Κρονίδα, διὰ παῖδα βοηνόμον ὄρνις ἐπλάγ-
χθης;
Εὐνίκα δὲ μόνα τὸν βωκόλον οὐκ ἐφίλασεν,
ἁ Κυβέλας κρέσσων, καὶ Κύπριδος, ἅ τε Σε-
λάνας.
Μηκέτι μηδὲ σύ, Κύπρι, τὸν ἁδέα μήτε κατ'
ἄστυ
μήτ' ἐν ὄρει Φιλέοις, μώνη δ' ἀνὰ νύκτα καθ-
εύδοις.

4) Der Genitivus wird von dem Comparativo regiert, als ob ἤ nicht vorausgegangen wäre. 5) Φιλεῦσι.

4. Κηριοκλέπτης.

(Theocrit. Eid. XIX.)

Τὸν κλέπταν ποτ' Ἔρωτα κακὰ κέντασε μέλισσα,
κηρίου ἐκ σίμβλων συλεύμενον· [1]) ἄκρα δὲ χειρῶν
δάκτυλα πάνθ' ὑπέυυξεν· ὁ δ' ἄλγεε καὶ χέρ' ἐφύσση, [2])
καὶ τὰν γᾶν ἐπάταξε, καὶ ἄλατο· τᾷ δ' Ἀφροδίτᾳ
δεῖξεν τὰν ὀδύναν, καἰ μέμφετο, ὅττι γε τυτθὸν
θηρίον ἐντὶ μέλισσα, καὶ ἀλίκα τραῦματα ποιεῖ.
Χ' ἁ μάτηρ γελάσασα, τὺ δ' οὐκ ἴσον [3]) ἐσσὶ μελίσσαις;
Ὅς τυτθὸς μέν ἔης, [4]) τὰ δὲ τραύματα ἀλίκα ποιεῖς.

5. Ἐπιτάφιος Ἀδώνιδος.

(Bion.)

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
μηκέτι πορφυρέοις ἐνὶ Φάρεσι, Κύπρι, κάθευδε·
ἔγρεο δειλαία κυανοστόλε, καὶ πλατάγησον
στάθεα, καὶ λέγε πᾶσιν, ἀπώλετο καλὸς Ἄδωνις.

1) συλώμενον. 2) ἐφύσα. 3) χρῆμα sc. 4) ἦν. das Imperfectum, wie auch bey den Attikern oft, mit der Bedeutung eines Praesentis.

Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι, μηρὸν ὀδόντι
λευκῷ λευκὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιᾷ
λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἵβεται αἷμα
χιονέας κατὰ σαρκός· ὑπ' ὀφρύσι δ' ὄμματα
ναρκῇ,
καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
θνάσκει καὶ τὸ φίλαμα, τὸ μήποτε Κύπρις
ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει,
ἀλλ' οὐκ οἶδεν Ἄδωνις, ὅ μιν θνάσκοντ' ἐφίλασεν.

Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
ἄγριον, ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
μεῖζον δ' ἃ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
κεῖνον μὲν περὶ παῖδα φίλοι κύνες ὠρύσαντο,
καὶ Νύμφαι κλαίουσιν Ὀρειάδες· ἃ δ' Ἀφροδίτα,
λυσαμένα πλοκαμῖδας, ἀνὰ δρυμὼς ἀλάληται
πενθαλέα, νήπλεκτος, ἀσάνδαλος· αἱ δὲ βάτοι νιν
ἐρχομέναν κείροντι, [1]) καὶ ἱερὸν αἷμα δρέπονται·
ὀξὺ δὲ κωκύουσα δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν, καὶ παῖδα καλεῦσα.
Ἀμφὶ δέ μιν μέλαν αἷμα παρ' ὀμφαλὸν ἤωρειτο,
στάθεα δ' ἐκ μηρῶν φοινίσσετο, οἱ δ' ὑπομαζοὶ
χοίνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.

1) πείρουσι.

Αἴ, αἰ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες·
Ὤλεσε τὰν καλὸν ἄνδρα, συιώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος. ὅτε ζώεσκεν Ἄδωνις,
κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος.
αἴ, αἴ.

Ὦρεα πάντα λέγοντι. καὶ αἱ δρύες, αἰ τὸν
Ἄδωνιν.
Καὶ ποταμοὶ κλαίοντι τὰ πένθεα τᾶς Ἀφροδίτας,
καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθαίνεται· ἁ δὲ Κυθήρα
πάντας ἀνὰ κναμώς, ἀνὰ πᾶν νάπος οἰκτρὸν
ἀείδει.
Αἴ αἰ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ' ἀντεβόασεν, ἀπώλετο καλὸς Ἄδωνις.
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄν;
αἴ αἴ.

Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
ὡς ἶδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
πάχεας ἀμπετάσασα κινύρετο· μεῖνον, Ἄδωνι,
δύσποτμε, μεῖνον, Ἄδωνι, πανύστατον ὥς
σε κιχείω,
ὡς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω.
Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με
φίλασον.
Τοσσοῦτόν με φίλασον, ὅσον ζώει τὸ φίλαμα·
ἄχρις ἀπὸ ψυχᾶς ἐς ἐμὸν στόμα κεἰς ἐμὸν ἦπαρ
πνεῦμα τεὸν ῥεύσῃ, τὸ δὲ σεῦ γλυκὺ φίλτρον
ἀμέλξω,
ἐκ δὲ πίω τὸν ἔρωτα· φίλαμα δὲ τοῦτο φυ-
λάξω

ὦς αὐτὸν τὸν Ἄδωνιν· ἐπεὶ σύ με, δύσμορε, φεύγεις.

Φεύγεις μακρὸν, Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα
καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἃ δὲ τάλαινα
ζώω, καὶ θεὸς ἐμμί, καὶ οὐ δύναμάι σε διώκειν.

Λάμβανε, Περσεφόνα, τὸν ἐμὸν πόσιν, ἐσσὶ γὰρ αὐτὰ
πολλὸν ἐμεῦ κρέσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.

Εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καὶ σὲ φοβεῦμαι.

Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτη.

Χήρη δ' ἁ Κυθέρεια, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.

Σοὶ δ' ἅμα κεστὸς ὄλωλε· τί γὰρ τολμηρὲ κυνάγεις;
καλὸς ἐὼν τοσσοῦτον ἐμὴ ao θηρσὶ παλαίειν;

Ὣδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες,
αἰ αἰ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφία τόσσον χέει, ὅσσον Ἄδωνις
αἷμα χέει· τὰ δὲ πάντα πυτὶ χθονὶ γίγνεται ἄνθη·
αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὸν Ἄδωνιν, ἀπώλετο καλὸς Ἄδωνις.
μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἄνερα μύρεο, Κύπρι.

ἔστ' ἀγαθὰ στιβάς, ἔστιν Ἀδώνιδι φυλλάς ἑτοίμα·
λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις.
καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς, οἷα καθ-
εῦδων.
Κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐθέλησθα.
Βάλλε δ' ἐνὶ στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν
αὐτῷ,
ὡς τῆνος τέθνακε, καὶ ἄνθεα πάντ' ἐμαράνθη.
Ῥαῖνε δέ μιν μύρτοισιν, ἀλείφασι, ῥαῖνε μύ-
ροισι.
Ὀλλύσθω μύρα πάντα, τὸ σὸν μύρον ὤλετ' Ἄδωνις.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες,
κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι· χ' ὡ μὲν ὀϊστώς,
ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἆγε φα-
ρέτραν·
χὠ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος· ὃς δὲ λέβησι
χρυσείοις φορέησιν ὕδωρ· ὁ δὲ μηρία λούει·
ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζουσιν Ἔρωτες.
Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
καὶ στέφος ἐξεπέτασσε γαμήλιον· οὐκ ἔτι δ'
Ὑμάν,
Ὑμὰν οὐκ ἔτ' ἀειδόμενον μέλος, ἄδεται αἰ αἴ.
Αἰ αἰ καὶ τὸν Ἄδωνιν ἔτι πλέον, ἢ Ὑμέναιος,
αἰ Χάριτος κλαίουτι τὸν υἱέα τῶ Κινύραο,
ὤλετο καλὸς Ἄδωνις ἐν ἀλλήλῃσι λέγοισαι.
Αὐταὶ δ' ὀξὺ λέγουτι πολὺ πλέον ἢ τὺ Διώνα.
Καὶ Μοῖσαι τὸν Ἄδωνιν ἀνακλαίουσιν, Ἄδωνιν

Κρανίδες ἀείδουσιν, ὁ δὲ σφίσιν οὐκ ἐπακοίει.
Οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ μιν οὐκ ἀπολύει.
Λῆγε γόων, Κυθέρεια, τοσήμερον ἴσχεο κομμῶν·
δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι. [2])

6. Ἐπιτάφιος Βίωνος.

(Moschi Eidyll. III.)

Αἴλινά μοι στοναχεῖτε νάπαι, καὶ Δώριον ὕδωρ,
καὶ ποταμοὶ κλαίοιτε τὸν ἱμερόεντα Βίωνα·
νῦν φυτά μοι μύρεσθε, καὶ ἄλσεα ἰῦν γοάοισθε·
ἄνθεα νῦν στυγιοῖσιν ἀποπνείοιτε κορύμβοις·
νῦν ῥόδα φοινίσσεσθε τὰ πένθιμα, νῦν ἀνεμώνα·
νῦν, ὑάκινθε, λάλει τὰ σὰ γράμματα, καὶ πλέον αἰ, αἰ
βάμβαλε σοῖς πετάλοισι· καλὸς τέθνακε μελικτάς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Ἀδόνες, αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,
νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθοίσας,

2) Das Fest des Adonis war in zwey Theile getheilt, wovon der eine den Verlust des Geliebten betrauerte, der andre seine Rückkehr aus der Unterwelt feyerte. Das Gedicht Bions hat Beziehung auf den ersten Theil.

Ὅττι Βίων τἔθνακεν ὁ Βωκόλος, ὅττι σὺν αὐτῷ
καὶ τὸ μέλος τέθνακε, καὶ ὤλετο Δωρὶς [1]) ἀοιδά.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Στρυμόνιοι μύρεσθε παρ' ὕδασιν αἴλινα κύκνοι,
καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν,
οἷαν ὑμετέροις ποτὲ χείλεσι γῆρυν ἄειδεν.
Εἴπατε δ' αὖ κώραις Οἰαγρίσιν, εἴπατε πάσαις
Βιστονίαις Νύμφαισιν, ἀπώλετο Δώριος [1]) Ὀρφεύς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκ ἔτι μέλπει,
οὐκ ἔτ' ἐρημαίησιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει·
ἀλλὰ παρὰ Πλουτῆϊ μέλος λαθαῖον ἀείδει.
Ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες, αἱ ποτὶ ταύροις
πλασδόμεναι γοάουτι, καὶ οὐκ ἐθέλουτι νέμεσθαι.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Σεῖο, Βίων, ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων,
καὶ Σάτυροι μύροντο, καὶ Μελάγχλαινοί τε Πρίηποι·
καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν μέλος· αἵ τε καθ' ὕλαν

1) Bion hatte in dorischer Mundart geschrieben.

Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γέντο.
Ἄχὼ δ' ἐν πέτρῃσιν ὀδύρεται, ὅττι σιωπῇς, [2])
κοὐκ ἔτι μιμεῖται τὰ σὰ χείλεα· σῷ δ' ἐπ' ὀλέθρῳ
δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
Μάλων οὐκ ἔῤῥευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων,
κάτθανε δ' ἐν καρῷ, λυπεύμενον· οὐκέτι γὰρ δεῖ,
τῷ μέλιτος τῷ σῷ τεθνακότος, αὐτὸ τρυγᾶσθαι.
Ἄρχετε Σικελικαὶ τῷ πένθεος, ἄρχετε Μοῖσαι.
Οὐ τόσον εἰναλίαισι παρ' ἀόσι μύρατο δελφίν,
οὐδὲ τόσον ποκ' ἄεισεν ἐνὶ σκοπέλοισιν ἀηδών,
Οὐδὲ τύσον θρήνησεν ἀν' ὥρεα μακρὰ χελιδὼν,
Ἀλκυόνος δ' οὐ τόσσον ἐπ' ἄλγεσιν ἴαχε Κήϋξ·
[Ἄρχετε Σικελικαὶ τῷ πένθεος, ἄρχετε Μοῖσαι·]
Οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι Κηρύλος ᾄδεν,
Οὐ τόσον ἀῴοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς,
Ἰπτάμενος περὶ σᾶμα, κινύρατο Μέμνονος ὄρνις,
Ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος.
Ἄρχετε Σικελικαὶ τῷ πένθεος, ἄρχετε Μοῖσαι.
Ἀδονίδες, πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν,

2) σιωπᾶς.

ἄ; λαλέειν ἐδίδασκε, καθεσδόμεναι ποτὶ πρέμνοις,
Ἀντίον ἀλλάλαισιν ἐκώκυον· αἱ δ' ὑπεφώνευν
Ὄρνιθες· λυπεῖσθε, πελειάδες, αἴλινα χ' ὑμεῖς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Τίς ποτὶ σᾷ σύριγγι μελίξεται, ὦ τριπόθατε;
Τίς δ' ἐπὶ σοῖς καλάμοις θησεῖ στόμα; τίς θρασὺς οὕτως;
Εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα καὶ τὸ σὸν ἆσθμα.
Ἀχὼ δ' ἐν δονάκεσσι τεὰς ἐπιβόσκετ' ἀοιδάς.
Πανὶ φέρω τὰ μέλιγμα· τάχ' ἂν κἀκεῖνος ἐρεῖσαι
τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Κλαίει καὶ Γαλάτεια τὸ σὸν μέλος, ἂν ποκ ἔτερπες
Ἑσδομέναν περὶ σεῖο παρ' ἀϊόνεσσι θαλάσσας.
Οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν
ἃ καλὰ Γαλάτεια, σὲ δ' ἄδιον ἔβλεπεν ἄλμας.
Καὶ νῦν λασαμένα τῶ κύματος ἐν ψαμάθοισι
Ἧσδετ' ἐρημαίαισι, βόας δ' ἔτι σεῖο νομεύει.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Πάντα τοι, ὦ βώτα, ξυγκάθανε δῶρα τὰ Μοισᾶν,
Παρθενικᾶν ἐρόεντα φιλάματα, χείλεα παίδων·
καὶ στυγνοὶ περὶ σᾶμα τεὸν κλαίουσιν Ἔρωτες.

Ἁ Κύπρις Φιλέει σε πολὺ πλέον, ἢ τὸ Φίλαμα,
τὸ πρώαν τὸν Ἄδωνιν ἀποθνάσκοντα Φίλασε.
Τοῦτό τοι, ὦ ποταμῶν λιγυρώτατε, δεύτερον ἄλγος,
τοῦτο, Μέλη, νέον ἄλγος· ἀπώλετο πράν τοι Ὅμηρος,
τᾶηνο τὸ Καλλιόπας γλυκερὸν στόμα, καί σε λέγοντι
μύρεσθαι καλὸν υἷα πολυκλαύστοισι ῥεέθροις,
πᾶσαν δ' ἔπλησας Φωνᾶς ἄλα· νῦν πάλιν ἄλλον
υἱέα δακρύεις, καινῷ δ' ἐπὶ πένθεϊ τάκῃ.
Ἀμφότεροι παγαῖς πεφιλαμένοι· ὅς μὲν ἔπινε
Παγασίδος κράνας, ὁ δ' ἔχεν πόμα τᾶς Ἀρεθοίσας·
χὠ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα,
καὶ Θέτιδος μέγαν υἷα, καὶ Ἀτρείδαν Μενέλαον·
κεῖνος δ' οὐ πολέμως, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπε,
καὶ βώτας ἐλίγαινε, καὶ ἀείδων ἐνόμευε,
καὶ σύριγγας ἔτευχε, καὶ ἁδέα πόρτιν ἄμελγε,
καὶ παίδων ἐδίδασκε φιλάματα, καὶ τὸν Ἔρωτα
ἔτρεφεν ἐν κόλποισι, καὶ ἤρεθε τὰν Ἀφροδίταν.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Πᾶσα, Βίων, θρηνεῖ σε κλυτὴ πόλις, ἄστεα πάντα.
Ἄσκρα μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Πίνδαρον οὐ παθέοντι τόσον Βοιωτίδες Ὕλαι·
Οὐ τόσον Ἀλκαίῳ περὶ μύρατο Λέσβος ἐραννά·

οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Κήϊον ἄστυ·
Σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος· ἀντὶ δὲ Σαπφοῦς
Εἰσέτι σεῦ τὸ μέλιγμα κινύρεται ἁ Μιτυλάνα.
Πάντες ὅσοις καπυρὸν τελέθει στόμα, βωκολιασταὶ
ἐκ Μοισᾶν, σέο πότμον ἀνακλαίοντι θανόντος.
Κλαίει Σικελίδας τὸ Σάμου κλέος· ἐν δὲ Κύδωσιν,
Ὁ πρὶν μειδιόωντι σὺν ὄμματι Φαιδρὸς ἰδέσθαι,
δάκρυα νῦν Λυκίδας κλαίων χέει· ἔν τε πολίταις
Τριοπίδαις ποταμῷ θρηνεῖ παρ' Ἄλεντι Φιλητᾶς·
Ἐν δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς
Βωκολικᾶς, ἀλλ' ἄν τ' ἐδιδάξαο σεῖο μαθητάς,
κλαρονόμος Μώσας τᾶς Δωρίδος· ἄμμε γεραίρων
ἄλλοις μὲν τεὸν ὄλβον, ἐμοὶ δ' ἀπέλειπες ἀοιδάν.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
αἲ αἲ ταὶ μαλάχαι μὲν ἐπὰν κατὰ κᾶπον ὄλωνται,
ἢ τὰ χλωρὰ σέλινα, τό τ' εὐθαλὲς οὖλον ἄνηθον,
ὕστερον αὖ ζώοντι, καὶ εἰς ἔτος ἄλλο φύοντι·
ἄμμες δ' οἱ μεγάλοι καὶ καρτεροὶ ἢ σοφοὶ ἄνδρες,
ὁππότε πρᾶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
Καὶ σὺ μὲν ἐν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ·

Ταῖς Νύμφαισι δ' ἔδοξεν ἀεὶ τὸν Βάτραχον ἄδειν.
Τῷ δ' ἐγὼ οὐ Φθονέοιμι· τὸ γὰρ μέλος οὐ καλὸν ἄδει.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Φάρμακον ἦλθε, Βίων, ποτὶ σὸν στόμα, Φάρμακον εἶλκες.
Πῶς τευ τοῖς χείλεσσι ποτέδραμε, κοὐκ ἐγλυκάνθη;
Τίς δὲ βροτὸς τοσοῦτον ἀνάμερος, ἢ κεράσαι τοι
ἢ δοῦναι λαλέοντι τὸ Φάρμακον; ἔκφυγεν ᾠδάν.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Ἀλλὰ δίκα κίχε πάντας· ἐγὼ δ' ἐπὶ πένθει τῷδε
δακρυχέων τεὸν οἶτον ὀδύρομαι· εἰ δυνάμαν δὲ,
ὡς Ὀρφεὺς καταβὰς ποτὶ Τάρταρον, ὥς ποκ' Ὀδυσσεύς,
ὡς πάρος Ἀλκείδας, κἀγὼ τάχ' ἂν ἐς δόμον ἦλθον
Πλουτέος, ὥς κεν ἴδοιμι, καί, εἰ Πλουτῆϊ μελίσδεις,
ὡς ἂν ἀκουσαίμαν, τί μελίσδεαι· ἀλλ' ἐπὶ Κώρᾳ
Σικελικόν τι λίγαινε, καὶ ἁδύ τι βωκολιάσδευ.
Σικελικὰ κἀκείνα ἐν Αἰτναίοισιν ἔπαιξεν
ἄγκεσι, καὶ μέλος οἶδε τὸ Δώριον· οὐκ ἀγέραστος
ἐσσεῖτ' ἀ μολπά· χ' ὡς Ὀρφέϊ πρόσθεν ἔδωκεν
ἁδέα Φερμίσδοντι παλίσσυτον Εὐρυδίκειαν,

Καὶ σέ, Βίων πεμψεῖ τοῖς ὤρεσιν· εἰ δέ τι κήγὼν
συρίσδων δυνάμαν, παρὰ Πλουτέϊ καὶτὸς ἄειδον.

7. Amor und die Musen.

(Bion.)

Ταὶ Μοῖσαι τὸν Ἔρωτα τὸν ἄγριον οὐ φοβέονται,
ἐκ θυμῶ δὲ φιλεῦντι, [1]) καὶ ἐκ ποδὸς αὐτῷ ἔπονται.
κῆν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ὀπηδῇ,
τῆνον ὑπεκφεύγοντι, καὶ οὐκ ἐθέλοντι διδάσκειν·
ἦν δὲ νόον τις Ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
μάρτυς ἐγών, ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀληθής·
ἦν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,
βαμβαίνει μευ γλῶσσα, καὶ ὡς πάρος οὐκ ἔτ' ἀείδει.
ἦν δ' αὖτ' ἐς τὸν Ἔρωτα καὶ ἐς Λυκίδαν τὶ μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει ᾠδά.

1) Φιλοῦσι.

8. Der Liebende an den Hesperos.

(Bion.)

Ἔσπερε, τᾶς ἱρατᾶς χρύσεον Φάος Ἀφρογε-
νείας,
Ἔσπερε, κυανέας ἱερόν, Φίλε, νυκτὸς ἄγαλμα,
τόσσον ἀφαυρότερος μήνας, ὅσσον ἔξοχος
ἄστρων,
χαῖρε Φίλος· καί μοι ποτὶ ποιμένα κῶμον
ἄγοντι
ἀντὶ σελαναίας τὺ δίδου Φάος, ὦνεκα τήνα,
σάμερον ἀρχομένα, ταχὺν δύεν· οὐκ ἐπὶ Φω-
ραν
ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντ' ἐνο-
χλήτω·
ἀλλ' ἐράω· καλὸν δέ τ' ἐρασσαμένῳ συνάρεσθαι.

9. Meer und Land.

(Moschos.)

Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὦνεμος ἀτρέμα
βάλλῃ,
τὰν Φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι
μοι γᾶ
ἐντὶ Φίλα, ποτάγει δὲ πολὺ πλέον ἅμμε γα-
λάνα.
ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθός, ἃ δὲ θάλασσα
κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα μακρὰ με-
μήνῃ,
ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἅλα
Φεύγω·
γᾶ δέ μοι ἀσπαστά, χἁ δάσκιος εὔαδεν ὕλα,

ἔνθα καὶ ἦν πνεύσῃ πολὺς ὤνεμος, ἁ πίτυς ἄδει.
ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,
καὶ πόνος ἐντὶ θάλασσα, καὶ ἰχθὺς ἁ πλάνος ἄγρα.
αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,
καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἦχον ἀκούειν,
ἃ τέρπει ψοφέοισα τὸν ἄγριον, οὐχὶ ταράσσει.

10. Εἰς τὸ Ἔαρ.

(Meleager.)

Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
πορφυρέη μείδησε Φερανθέος εἴαρος ὥρη.
γαῖα δὲ κυανέῃ χλοερὴν ἐστέψατο ποίην,
καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμησε πετήλοις.
οἱ δ' ἀπαλὴν πίνοντες ἀεξιφύτου δρόσον Ἠοῦς
λειμῶνες γελόωσιν, ἀνοιγομένοιο ῥόδοιο.
Χαίρει καὶ σύριγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων,
καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος αἰγῶν.
ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται
πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα κολπώσαντες.
ἤδη δ' εὐάζουσι φιλοσταφύλῳ Διονύσῳ
ἄνθεϊ βοτρυόεντος ἐρεψάμενοι τρίχα κισσοῦ.
ἔργα δὲ τεχνήεντα βοηγενέεσσι μελίσσαις
καλὰ μέλει, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
λευκὰ πολυτρήτοιο νεόῤῥυτα κάλλεα κηροῦ
πάντη δ' ὀρνίθων γενεὴ λιγύφωνον ἀείδει·
ἀλκυόνες περὶ κῦμα, χελιδόνες ἀμφὶ μέλαθρα,
κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών.

εἰ δὲ φυτῶν χαίρουσι κόμαι, καὶ γαῖα τέθηλε,
συρίζει δὲ νομεύς, καὶ τέρπεται εὔκομα μῆλα,
καὶ ναῦται πλώουσι, Διώνυσος δὲ χορεύει,
καὶ μέλπει πετεηνὰ. καὶ ὠδίνουσι μέλισσαι,
πῶς οὐ χρὴ τὸν ἀοιδὸν ἐν εἴαρι καλὸν ἀείδειν;

II. Ληναὶ ἢ Βακχαί.

(Theokritos.)

Ἰνὼ κ' Αὐτονόα, χ' ἁ μαλοπάρηος Ἀγαύα,
τρεῖς θιάσως ἐς ὄρος τρεῖς ἄγαγον αὐταὶ ἐοῖσαι.
χαί μὲν ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα,
κισσόν τε ζώοντα, καὶ ἀσφόδελον τὸν ὑπὲρ γᾶς,
ἐν καθαρῷ λειμῶνι κάμον δυοκαίδεκα βωμώς,
τὼς τρεῖς τᾷ Σεμέλᾳ, τὼς ἐννέα τῷ Διονύσῳ·
ἱερὰ δ' ἐκ κίστας πεπονημένα χερσὶν ἔλοῖσαι,
εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν,
ὡς ἐδίδασχ', ὡς αὐτὸς ἐθυμάρει Διόνυσος.
Πενθεὺς δ' ἁλιβάτου πέτρας ἄπο πάντ' ἐθεώρει,
σχῖνον ἐς ἀρχαίαν καταδύς, ἐπιχώριον ἔρνος.
Αὐτονόα πράτα νιν ἀνέκραγε δεινὸν ἰδοῦσα,
σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχω,
ἐξαπίνας ἐπιοῦσα· τὰ δ' οὐχ ὁρόωντι βέβαλοι.
μαίνετο μέν τ' αὐτά, μαίνοντο δ' ἄρ' εὐθὺ καὶ ἄλλαι.
Πενθεὺς μὲν φεῦγεν πεφοβημένος· αἱ δ' ἐδίωκον,
Πέπλως ἐκ ζωστῆρος ἐπ' ἰγνύ' ἀνειρύσασαι.
Πενθεὺς μὲν τόδ' ἔειπε, τίνος κεχρησθε, γυναῖκες;
Αὐτονόα δὲ τόδ' εἶπε, τάχα γνώσῃ πρὶν ἀκοῦσαι.

Μάτηρ μὲν κεφαλὰν μυκήτατο παιδὸς ἑλοῖσα,
ὅσσον περ τοκάδος τελέθει μύκημα λεαίνας·
Ἰνὼ δ' αὐτ' ἔῤῥηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον,
λαὰξ ἐπὶ γαστερα βᾶσα· καὶ Αὐτονόᾳ ῥυθμὸς
ὠὐτός.
αἱ δ' ἄλλαι τὰ περισσὰ κρέα νομέοντο γυναῖκες.
ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι,
ἐξ ὄρεος πένθημα, καὶ οὐ Πενθῆα, φέροισαι.
Χαίροι μὲν Διόνυσος, ὃν ἐν Δρακάνῳ νιφόεντι
Ζεὺς ὕπατος μεγάλαν ἐπιγουνίδα θήκατο λύσας.
Χαίροι δ' εὐειδὴς Σεμέλα, καὶ ἀδελφεαὶ αὐτᾶς
Καδμεῖαι, πολλαῖς μεμελημέναι ἡρωΐναις,
αἳ τόδε ἔργον ἔρεξαν, ὀρίναντος Διονύσω,
οὐκ' ἐπιμωμητόν· μηδεὶς τὰ θεῶν ὀνόσαιτο.

V.

Lyrische Gedichte.

Einige anakreontische Lieder.

1.

Θέλω λέγειν Ἀτρείδας,
Θέλω δὲ Κάδμον ᾄδειν·
ἡ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
ἥμειψα νεῦρα πρώην,
καὶ τὴν λύρην ἅπασαν,
κἀγὼ μὲν ἦδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
χαίροιτε λοιπὸν ἡμῖν
Ἥρωες· ἡ λύρη γὰρ
μόνους Ἔρωτας ᾄδει.

2.

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,

1 und 2. Das Sylbenmaafs dieser Oden ist

$$\breve{\cup} \mid - \cup - \cup \mid - \breve{\cup}$$

ποδωκίην λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτόν,
τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσι Φρόνημα.
γυναιξὶ δ' οὐκέτ' εἶχεν.
Τί οὖν δίδωσι; κάλλος·
ἀντ' ἀσπίδων ἁπασῶν,
ἀντ' ἐγχέων ἁπάντων·
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

3. *)

Ἐπὶ μυρσίναις τερείναις,
ἐπὶ λωτίναις δὲ ποίαις
στορέσας [1]) θέλω προπίνειν.
ὁ δ' Ἔρως χιτῶνα δήσας
ὑπὲρ αὐχένος παπύρῳ,
μέθυ μοι διακονείτω.
Τροχὸς ἅρματος γὰρ οἷα
βιοτος τρέχει κυλισθείς·
ὀλίγη δὲ κεισόμεσθα
κόνις ὀστέων λυθέντων.
τί σε δεῖ λίθον μυρίζειν;
τί δὲ γῇ χέειν μάταια;
ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, νέαις τε μύρτοις·

*) Das Sylbenmaafs dieser Ode ist

⏑ ⏑ | — ⏑ — ⏑ | — ⏑ ⏓

1) ἐμαυτὸν sc.

πρίν, Ἔρως, ἐκεῖ μ' ἀπελθεῖν,
ὑπὸ νερτέρων χορείας,
σκεδάσαι θέλω μερίμνας.

4.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ,
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σευ μέτωπον.
Ἐγὼ δὲ τὰς κόμας μέν,
εἴτ' εἰσιν, εἴτ' ἀπῆλθον
οὐκ οἶδα· τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον [1])
πρέπει τὰ τερπνὰ παίζειν,
ὅσῳ [2]) πέλας τὰ Μοίρης.

5.

Οὔ μοι μέλει Γύγαο,
τοῦ Σαρδίων ἄνακτος·
οὔθ' εἱλέ πω με χρυσός,
οὔτ' αἰνέω τυράννους·
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισι
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι·
τὸ δ' αὔριον τίς οἶδεν;

1) soviel als τόσῳ μᾶλλον. 2) μᾶλλον sc.

6.

Ἡ γῆ μέλαινα πίνει,
πίνει τὰ δένδρε' αὐτήν,
πίνει θάλασσ' ἀναύρους,
ὁ δ' ἥλιος θάλασσαν,
τὸν δ' ἥλιον σελήνη.
τί μοι μάχεσθ', ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

7.

Παρὰ τὴν σκιήν, Βάθυλλε,
κάθισον· καλὸν τὸ δένδρον·
ἁπαλὰς δ' ἔσεισε χαίτας
μαλακωτάτῳ κλαδίσκῳ·
παρὰ δ' αὐτῷ μ' ἐρύθιζει
πηγὴ ῥέουσα πειθοῦς.
τίς ἂν οὖν ὁρῶν παρέλθοι
καταγώγιον τοιοῦτο;

8. *)

Αἱ Μοῦσαι τὸν Ἔρωτα
δησάσαι στεφάνοισιν,
τῷ Κάλλει παρέδωκαν.
καὶ νῦν ἡ Κυθέρεια
ζητεῖ, λύτρα φέρουσα,
λύσασθαι τὸν Ἔρωτα.
Κἢν λύσῃ δέ τις αὐτόν,
οὐκ ἔξεισι, μενεῖ δέ·
δουλεύειν δεδίδακται.

*) Das Sylbenmaafs ist
— | — — ∪∪ | — ∪

9.

Μακαρίζομέν σε, τέττιξ,
ὅτε δενδρέων ἐπ' ἄκρων,
ὀλίγην δρόσον πεπωκώς,
βασιλεὺς [1]) ὅπως ἀείδεις.
σὰ γάρ ἐστι κεῖνα πάντα
χ' ὁπόσα βλέπεις ἐν ἀγροῖς,
χ' ὁπόσα φέρουσιν Ὧραι.
Σὺ δὲ φίλιος γεωργῶν,
ἀπὸ μηδενός τι βλάπτων·
σὺ δὲ τίμιος βροτοῖσιν,
θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι,
Φιλέει δὲ Φοῖβος αὐτός,
λιγυρὴν δ' ἔδωκεν οἴμην.
Τὸ δὲ γῆρας οὔ σε τείρει,
σοφέ, γηγενής, Φίλυμνε,
ἀπαθής, ἀναιμόσαρκε·
σχεδὸν εἶ θεοῖς ὅμοιος.

10.

Φιλῶ γέροντα τερπνόν,
Φιλῶ νέον χορευτάν.
γέρων δ' ὅταν χορεύῃ,
τρίχας γέρων μέν ἐστι,
τὰς δὲ φρένας νεάζει.

11.

Ἔρως ποτ' ἐν ῥόδοισιν
κοιμωμένην μέλισσαν

1) Wie ein König hoch thronend.

οὐκ εἶδε, καὶ παταχθεὶς
τῆς χειρὸς ὠλόλυξε.
δραμὼν δὲ καὶ πετασθεὶς
πρὸς τὴν καλὴν Κυθήρην,
ὄλωλα, μῆτερ, εἶπεν,
ὄλωλα, κἀποθνήσκω·
ὄφις μ' ἔτυψε μικρός,
πτερωτὸς ὃν καλοῦσι
μέλισσαν οἱ γεωργοί.
Ἡ δ' εἶπεν· εἰ τὸ κέντρον
πονεῖ σὲ τῆς μελίσσης,
πόσον δοκεῖς πονεῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

12.

Ἐρασμίη πέλεια,
πόθεν, πόθεν πέτασσαι;
πόθεν μύρων τοσούτων,
ἐπ' ἠέρος θέουσα,
πνέεις τε καὶ ψεκάζεις;
τίς εἶς; τί σοι μέλει δέ; —
Ἀνακρέων μ' ἔπεμψε
πρὸς παῖδα, πρὸς Βάθυλλον.
Πέπρακε μ' ἡ Κυθήρη,
λαβοῦσα μικρὸν ὕμνον.
Ἐγὼ δ' Ἀνακρέοντι
διακονῶ τοσαῦτα·
καὶ νῦν, ὁρᾶς, ἐκείνου
ἐπιστολὰς κομίζω·
καί φησιν εὐθέως με
ἐλευθέρην ποιήσειν.
Ἐγὼ δέ, κἢν ἀφῇ με

δούλη μενέω παρ' αὐτῷ.
Τί γάρ με δεῖ πέτασθαι
ὅρη τε καὶ κατ' ἀγρούς,
καὶ δένδρεσιν καθίζειν,
φαγοῦσαν ἄγριόν τι;
τανῦν ἔδω μὲν ἄρτον
ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
πιεῖν δέ μοι δίδωσι
τὸν οἶνον, ὃν προπίνει·
πιοῦσα δ' ἂν χορεύσω,
καὶ δεσπότην ἐμῶσι
πτεροῖσι συγκαλύψω·
κοιμωμένη δ' ἐπ' αὐτῷ
τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ'· ἄπελθε·
λαλιστέραν μ' ἔθηκας,
ἄνθρωπε, τῆς κορώνης.

13. Scolion [1]) der Praxilla.

Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει,
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις.

1) Scolia werden kurze Lieder, meist Denksprüche enthaltend, genannt, die man beym Mahle sang. Die Ableitung der Benennung ist ungewiſs. (σκολη = σχόλη Lat. 2.)

14. Scolion des Simonides.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ καλὸν φυὰν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾷν μετὰ τῶν φίλων.

15. Loos der Menschheit.

(Bacchylides.)

Θνατοῖσι μὴ φῦναι φέριστον,
μήδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος οὐδεὶς πάντα βροτῶν χρόνον.

16. Von demselben.

Παύροισι θνητῶν τὸν ἅπαντα χρόνον
ὁ δαίμων δῶκε πράσσοντας ἐν καιρῷ,
πολιοκρόταφον γῆρας ἱκέσθαι,
πρὶν ἐγκύρσαι δύαις.

17. Anklage des Reichthums.

(Timokreon.)

Ὦφελες, ὦ τυφλὲ Πλοῦτε,
μήτ' ἐνὶ γῇ μήτ' ἐν θαλάττῃ,
μήτ' ἐν ἠπείρῳ φανῆναι,
ἀλλὰ Τάρταρόν τε ναίειν
κ' Ἀχέροντα· διὰ σὲ γὰρ
πάντ' ἐν ἀνθρώποις κάκ' ἐστίν.

18. Der Mensch.

(Simonides.)

Ἀνθρώπων ὀλίγον μὲν κάρτος,
ἄπρακτοι δὲ μελεδόνες·
αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ πόνῳ·
ὁ δ' ἄφυκτος ὁμῶς
ἐπικρέμαται θάνατος.
Κείνου γὰρ ἴσον ἔλαχον μέρος οἵτ'
ἀγαθοί γ', ὅς τις τε κακός.

19. Nicht zu viel.

(Alpheus.)

Οὐ στέργω βαθυληΐους ἀρούρας,
οὐκ ὄλβον πολύχρυσον, οἷα Γύγης.
αὐτάρκους ἔραμαι βίου, Μακρῖνε,
τὸ μηδὲν γὰρ ἄγαν, ἄγαν με τέρπει.

20. Reichthum des Tapfern.

(Hybrias aus Kreta.)

Ἔστι μοι πλοῦτος μέγα δόρυ
καὶ ξίφος, καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα
χρωτός·
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον
ἀπ' ἀμπέλω, τούτῳ δεσπότας μνοίας κέκλημαι.
Τοὶ δὲ μὴ τολμῶντες ἔχειν
δόρυ καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρω-
τός,

πάντες ἐς γόνυ πεπτηότες ἐμοί, κυνέοντι
δεσπόταν, καὶ μέγαν βασιλῆα Φωνέοντι.

21. Lob des Harmodios und Aristogiton.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ποιησάτην.
Φίλταθ' Ἁρμόδι' οὔ τί που τέθνηκας·
νήσοις δ' ἐν μακάρων σέ Φασιν εἶναι,
ἵνα περ ποδώκε' Ἀχιλέα,
Τυδεΐδην τε ἐσθλὸν Διομήδεα.
Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.
Ἀεὶ σφῶν κλέος ἔσσεται κατ' αἶαν,
Φίλταθ' Ἁρμόδιος, κ' Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτάνετον,
ἰσονόμους τ' Ἀθήνας ἐποιήσατον.

22. Ἡ λ α κ ά τ α. [1])

(Theokritos.)

Γλαυκᾶς, ὦ φιλέριθ' ἁλακάτα, δῶρον Ἀθανάας,
γυναιξὶν πόνος οἰκωφελέεσσιν σὸς ἐπήβολος.

1) Das Sylbenmaafs dieses Gedichtes ist:

⏑ – | – ⏑ ⏑ – | – ⏑ ⏑ – | – ⏑ ⏑ – | ⏑

Θαρσεῦσ' ἄμμιν ὁμάρτει πόλιν ἐς Νείλεω ἀγλαάν,
ὅππα Κύπριδος ἱρὸν καλάμω χλωρὸν ὑφ' ἁπάλω.
Τᾶδε γὰρ πλόον εὐάνεμον αἰτεύμεθα πὰρ Διός,
ὅππως ξεῖνον ἐμὸν τέρψομ' ἰδὼν κἀντιφιλήσομαι
Νικίαν, Χαρίτων ἱμεροφώνων ἱερὸν φυτόν,
καὶ σέ, τὰν ἐλέφαντος πολυμόχθω γεγενημέναν,
δῶρον Νικιέας εἰς ἁλόχω χέρρας ὁπάσσομεν.
Σὺν τᾷ πολλὰ μὲν ἔργ' ἐκτελέσεις ἀνδρείοις πέπλοις,
πολλὰ δ' οἷα γυναῖκες Φορέοισ' ὐδάτινα βράκη.
Δὶς γὰρ ματέρες ἀρνῶν μαλακὼς ἐν βοτάνᾳ πόκως
πέξαιντ' αὐτοετεί, Θευγενίδος γ' εἵνεκ' ἐϋσφύρω·
οὕτως ἀνυσιεργός· φιλέει δ' ὅσσα σαόφρονες. [2])
Οὐ γὰρ εἰς ἀκιρὼς, οὐδ' ἐς ἀεργώς κεν ἐβολλόμαν [3])
Ὁππάσαι σὲ δόμως, ἀμετέρας εὖσαν ἀπὸ χθονός.
Καὶ γάρ σοι πατρὶς ἂν ὤ'ξ Ἐφύρας κτίσσε ποτ' Ἀρχίας,
νάσω Τριναχρίας μυελόν, ἀνδρῶν δοκίμων πόλιν.

2) Φιλοῦσι sc. 3) st. ἐβουλόμην.

Νῦν μὰν οἶκον ἔχοισ' ἀνέρος, ὃς πόλλ' ἐδάη
σοφὰ
ἀνθρώποισι νόσους φάρμακα λυγρὰς ἀπαλαλ-
κέμεν,
οἰκήσεις κατὰ Μίλατον ἐραννὰν μετ' Ἰαόνων,
ὡς εὐαλάκατος Θευγενὶς ἐν δαμότισιν πέλῃ,
καί οἱ μνᾶστιν ἀεὶ τῶ Φιλαοιδῶ παρέχῃς
ξένω.
κεῖνο γάρ τις ἐροῖ τῳ, ποτιδών σ', ἦ μεγάλα
χάρις.
δώρῳ σὺν ὀλίγῳ· πάντα δὲ τιμᾶντα τὰ πὰρ
Φίλων.

23. An die Aphrodite.

(Sappho.)

Ποικιλόθρον', ἀθάνατ' Ἀφροδίτα,
παῖ Διὸς δολοπλόκε, λίσσομαί τυ,
μή μ' ἄσαισι, μή μ' ἀνίαισι δάμνα,
πότνια, θῦμον.
ἀλλὰ τυΐδ' ἔλθ', αἴ ποκα κατερῶτα
τᾶς ἐμᾶς αὐδᾶς ἄϊοισα πολλὺ
ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα,
χρύσεον ἦλθες
ἅρμ' ὐποζεύξασα, καλοὶ δέ σ' ἆγον
ὠκέες στροῦθοι περὶ γᾶς μελαίνας
πυκνὰ δινεῦντες πτέρ' ἀπ' ὠράν' [1]) αἰθέ-
ρος διὰ μέσσω·
αἶψ' ἀλλ' ἐξίκοντο· τὺ δ' ὦ μάκαιρα
μειδιάσασ' ἀθανάτῳ προσώπῳ

1) st. οὐρανοῦ.

ἦρε' ὅττι γ' ἦν τὸ [2]) πέπονθα κ' ὅττι [3])
δή τυ κάλημμι,
κ' ὅττι γ' ἐμῷ μάλιστ' ἐθέλω γενέσθαι
μαινόλᾳ θύμῳ, τίνα δ' αὖτε πείθω
τὶν σαγηνέσσαν Φιλότατα, τίς σ' ὦ
Σαπφοῖ ἀδικήῃ; [4])
καὶ γὰρ αἰ Φεύγει ταχέως διώξει·
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
αἰ δὲ μὴ Φιλῇ, [5]) ταχέως Φιλάσει,
κἀι μὴ ἐθέλλοις.
Ἔλθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὅσσα δέ μοι τελέσσαι
θῦμος ἰμέρρει, τέλεσον, τὺ δ' αὐτὰ
σύμμαχος ἔσσο.

24. Auf die Göttin Roma.

(Erinna.)

Χαῖρέ μοι Ῥώμα' θυγάτηρ Ἄρηος,
χρυσεομίτρα, δαΐφρων ἄνασσα,
σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον
αἰὲν ἄθραυστον.
σοὶ μόνᾳ πρεσβίστα δέδωκε Μοῖρα
κῦδος ἀρρήκτω βασιλῆον ἀρχᾶς,
ὅφρα κοιρανῆον ἐχοῖσα κάρτος
ἀγεμονεύῃς.
σᾷ δ' ὑπὸ σδεύγλᾳ κρατερῶν λεπάδνων
στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
φίγγεται· σὺ δ' ἀσφαλέως κυβερνᾷς
ἄστεα λαῶν.

2) st. ὅ. 3) καὶ ὅτι. 4) ἀδικεῖ. 5) Φιλεῖ.

πάντα δὲ σφάλλων ὁ μέγιστος αἰών,
καὶ μεταπλάσσων βίον ἄλλοτ' ἄλλως,
σοὶ μόνᾳ πλησίστιον οὖρον ἀρχᾶς
οὐ μεταβάλλει.
ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίστους
ἄνδρας αἰχματὰς μεγάλως λοχεύεις,
εὔσταχυν Δάματρος ὅπως συνοίσῃς
καρπὸν ἀπ' ἀνδρῶν.

VI.

Einige Stellen aus dramatischen Dichtern.

1.

Talthybios, der Herold der Griechen, erzählt der Hekabe, auf ihr Verlangen, wie ihre Tochter auf dem Grabhügel Achills vom Neoptolemos geopfert worden.

(Euripid. Hecuba V. 522—586.)

Jambische Trimeter.

Διπλᾶ με χρῄζεις δάκρυα κερδάναι, γύναι,
σῆς παιδὸς οἴκτῳ· νῦν τε γὰρ λέγων κακὰ
τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', [1]) ὅτ' ὤλ-
λυτο.
Παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ
πλήρης πρὸ τύμβου, σῆς κόρης ἐπὶ σφαγάς.
λαβὼν δ' Ἀχιλλέως παῖς [2]) Πολυξένην χερός,
ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ· [3])
λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
σκίρτημα μόσχου σῆς καθεξόντες χεροῖν,

1) ἔτεγξα τὸ ἐμὸν ὄμμα δάκρυσι scil. 2) Neoptolemos. 3) ἔστην se.

ἔσποντο· πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
πάγχρυσον ἔῤῥει χειρὶ παῖς Ἀχιλλέως
χοὰς θανόντι πατρί· σημαίνει δ' ἐμοὶ,
σιγὴν Ἀχαιῶν παντὶ κηρύξαι στρατῷ.
Κἀγὼ παραστὰς εἶπον ἐν μέσοις τάδε·
σιγᾶτ' Ἀχαιοί, σῖγα πᾶς ἔστω λεώς·
σίγα, σιώπα· νήιεμον δ' ἔστησ' ὄχλον.
Ὁ δ' εἶπεν· ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμός,
δέξαι χοάς μου τάσδε κηλητηρίους,
νεκρῶν ἀγωγούς· ἐλθέ δ', ὡς πίῃς μέλαν
κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
στρατός τε κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ,
λῦσαι δὲ πρύμνας [4]) καὶ χαλινωτήρια
νεῶν δὸς ἡμῖν, πρευμενοῦς δ' ἀπ' Ἰλίου
νόστου τυχόντας. πάντας ἐς πάτραν μολεῖν.
Τοσαῦτ' ἔλεξε· πᾶς δ' ἐπηύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβών,
ἐξεῖλκε κολεοῦ· λογάσι δ' Ἀργείων στρατοῦ
νεανίαις ἔνευσε παρθένον λαβεῖν.
Ἡ δ' ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
ἑκοῦσα θνήσκω· μή τις ἅψηται χροὸς
τοὐμοῦ· παρέξω γαρ δέρην εὐκαρδίως·
ἐλεύθεραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν, μεθέντες, κτείνατ'· ἐν νεκροῖσι γὰρ
δούλη κεκλῆσθαι, βασιλὶς οὖσ', αἰσχύνομαι.
Λαοὶ δ' ἐπερῥόθησαν· Ἀγαμέμνων δ' ἄναξ

4) Ungünstige Winde hinderten die Abfahrt der Griechen von Troja, bis an Achills Grabe die gebührenden Todenopfer vollbracht wären.

εἶπεν μεθεῖναι παρθένον νεανίαις.
Οἱ δ' ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὅπα,
μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.
Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος,
ἔῤῥηξε λαγόνος εἰς μέσον, παρ' ὀμφαλόν,
μαστοὺς δ' ἔδειξε, στέρνα θ', ὡς ἀγάλματος,
κάλλιστα καὶ καθεῖσα πρὸς γαῖαν γόνυ,
ἔλεξε πάντων τλημονέστατον λόγον·
Ἰδού, τόδ' εἰ μὲν στέρνον, ὦ νεανία,
παίειν προθυμεῖ, παῖσον· εἰ δ' ὑπ' αὐχένα
χρῄζεις, πάρ στι λαιμὸς εὐτρεπὴς ὅδε.
Ὁ δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κάρης,
τέμνει σιδήρῳ πνεύματος διαῤῥοάς·
κρουνοὶ [5]) δ' ἐχώρουν. ἡ δὲ καὶ θνήσκουσ',
ὅμως
πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον,
ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
Φύλλοις ἔβαλλον· οἱ δὲ πληροῦσιν πυράν,
κορμοὺς Φέροντες πευκίνους· ὁ δ' οὐ Φέρων,
πρὸς τοῦ Φέροντος τοιάδ' ἤκουεν κακά·
Ἔστηκας, ὦ κάκιστε, τῇ νεάνιδι
οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
οὐκ εἶ τι δώσων τῇ περίσσ' [6]) εὐκαρδίῳ,
ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῇ λέγω
παιδὸς θανούσης· εὐτεκνωτάτην δέ σε
πασῶν γυναικῶν δυστυχεστάτην θ' ὁρῶ.

5) αἵματος sc. 6) περισσά. i. e. περισσῶς.

2.

Orest, nach der Ermordung seiner Mutter Klytaemnestra von den Furien gepeinigt, erwacht, auf seinem Lager liegend, vom Schlaf. Seine Schwester Elektra, die den Kranken pflegt, ist neben ihm.

(Euripid. Orest. V. 205—309.)

Ὀρ. Ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες ἐνδέοντι γε.
ὦ πότνια λήθη τῶν κακῶν ὡς εἶ σοφή,
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
Πόθεν ποτ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
ἀμνημονῶ γὰρ τῶν πρὶν, ἀπολειφθεὶς φρενῶν.

Ἠλ. Ὦ φίλταθ', ὡς μ' ηὔφρανας εἰς ὕπνου πεσών.
βούλει θίγω σου κἀνακουφίσω δέμας;

Ὀρ. λαβοῦ, λαβοῦ δῆτ', ἐκ δ' ὄμορξον ἁθλίου
στόματος ἀφρώδη πέλανον, ὀμμάτων τ' ἐμῶν.

Ἠλ. ἰδοὺ τὸ δούλευμ' ἡδύ, κοὐκ ἀναίνομαι
ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.

Ὀρ. ὑπόβαλε πλευροῖς πλευρὰ καὐχμώδη κόμην
ἄφελε προσώπου· λεπτὰ γὰρ λεύσσω κόραις.

Ἠλ. ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
ὡς ἠγρίωσαι διὰ μακρᾶς ἁλουσίας.

Ὀρ. κλῖνόν μ' ἐς εὐνὴν αὖθις· ὅταν ἀνῇ νόσος
μανιάς μ', ἄναρθρός εἰμι, κἀσθενῶ μέλη.
Ἠλ. ἰδοὺ Φίλον τοι τῷ νοσοῦντι δέμνιον,
ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.
Ὀρ. αὖθίς μ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέ-
μας.
Ἠλ. ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.
Ὀρ. μάλιστα· δόξαν γὰρ τόδ' ὑγιείας ἔχει.
κρεῖσσον δὲ τὸ δοκεῖν, κἀν ἀληθείας ἀπῇ.
Ἠλ. ἄκουε δή νυν, ὦ κασίγνητον κάρα,
ἕως ἐῶσί σ' εὖ Φρονεῖν Ἐριννύες.
Ὀρ. λέξεις τι καινόν; κεἰ μὲν εὖ, χάριν Φέ-
ρεις.
εἰ δ' εἰς βλάβην τιν', ἄλις ἔχω τοῦ δυστυ-
χεῖν.
Ἠλ. Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρός,
ἐν Ναυπλίᾳ δὲ σέλμαθ' ὥρμισται νεῶν.
Ὀρ. πῶς εἶπας; ἥκει Φῶς ἐμοῖς καὶ σοῖς κα-
κοῖς,
ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;
Ἠλ. ἥκει· τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου,
Ἑλένην ἀγόμενος Τρωϊκῶν ἐκ τειχέων.
Ὀρ. Εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν.
εἰ δ' ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.
Ἠλ. Ἐπίσημον ἔτεκε Τυνδάρεως εἰς τὸν ψύ-
γον
γένος θυγατέρων, δυσκλεές τ' ἀν' Ἑλλάδα.
Ὀρ. σύ νυν διάφερε τῶν κακῶν· ἔξεστι γάρ.
καὶ μὴ μόνον λέγ' ἀλλὰ καὶ Φρόνει τάδε.
Ἠλ. οἴμοι, κασίγνητ', ὄμμα σὸν ταράσσεται.
ταχὺς δὲ μετέθου λύσσαν, ἀρτίως Φρονῶν.

Ὀρ. ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωπούς καὶ δρακοντώδεις κόρας.
αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου.
Ἠλ. μέν', ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν δεμ-
νίοις,
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι.
Ὀρ. Ὦ Φοῖβ', ἀποκτενοῦσί μ' αἱ κυνώπιδες,
γοργῶπες, ἐνέρων ἵέριαι, δειναὶ θεαί.
Ἠλ. Οὗτοι μεθήσω· χεῖρα δ' ἐμπλέξασ' ἐμὴν
σχήσω σε πηδᾷ δυστυχῆ πηδήματα.
Ὀρ. μέθες· μί' οὖσα τῶν ἐμῶν Ἐριννύων,
μέσον μ' ὀχμάζεις, ὡς βάλῃς ἐς Τάρταρον.
Ἠλ. οἵ' ἐγὼ τάλαινα, τίν' ἐπικουρίαν λάβω,
ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
Ὀρ. δὸς τόξα μοι κερουλκά, δῶρα Λοξίου,
οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνεσθαι θεάς,
εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασι.
Ἠλ. βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί;
Ὀρ. Εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
οὐκ εἰσακούετ', οὐχ ὁρᾶθ' ἑκηβόλων
τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
(ἆ, ἆ,) τί δῆτα μέλλετ'; ἐξακρίζετ' αἰ-
θέρα
πτεροῖς· τὰ Φοίβου δ' αἰτιᾶσθε θέσφα-
τα. 1) —
(ἔα) τί χρῆμ' ἀλύω, πνεῦμ' ἀνεὶς ἐκ πνευμό-
νων;
ποῖ, ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.

1) Orestes hatte auf Phoebus Rath den Mord seines Vaters an Clytaemnestern gerächt.

ξύγγονε, τί κλάεις, ὄμμα θεῖσ' εἴσω πέ-
πλων;
αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕνατι συντήκου κακῶν·
σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοὶ
μητρῷον αἷμα· λοξίᾳ δὲ μέμφομαι,
ὅστις μ' ἐπάρας ἔργον ἀνοσιώτατον,
τοῖς μὲν λόγοις ηὔφρανε τοῖς δ' ἔργοισιν οὔ.
οἶμαι δὲ πατέρα τὸν ἐμόν, εἰ κατ' ὄμματα
ἐξιστόρουν νιν, μητέρ' εἰ κτεῖναί με χρή,
πολλὰς γενείου τοῦδ' ἂν ἐκτεῖναι λιτάς,
μὴ τῆς τεκούσης εἰς σφαγὰς ὦσαι ξίφος,
εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἔμελλε φῶς,
ἐγώ θ' ὁ τλήμων τοιάδ' ἐκπλήσειν κακά.
καὶ νῦν ἀνακάλυπτ', ὦ κασίγνητον κάρα,
ἐκ δακρύων τ' ἄπελθε, κεἰ μάλ' ἀθλίως
ἔχομεν· ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς,
σύ μου τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
ἴσχαινε παραμυθοῦ θ'· ὅταν δὲ σὺ στένῃς,
ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα.
Ἐπικουρίαι γὰρ αἵδε τοῖς φίλοις καλαί.
ἀλλ', ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω,
ὕπνῳ δ' ἄϋπνον βλέφαρον ἐκταθεῖσα δός,
σῖτον δ' ὄρεξαι λουτρά τ' ἐπὶ χροὸς βάλε.
εἰ γὰρ προλείψεις μ', ἢ προεδρίᾳ νόσον
κτήσει τιν', οἰχόμεσθα· σὲ γὰρ ἔχω μόνην
ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.

Ἠλ. οὐκ ἔστι· σὺν σοὶ καὶ θανεῖν αἱρήσομαι
καὶ ζῆν· ἔχει γὰρ ταὐτόν· ἢν σὺ κατθάνῃς,
γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι;

ἀνάδελφος, ἀπάτωρ, ἄφιλος· εἰ δὲ σοὶ
δοκεῖ,
δρᾶν χρὴ τάδ'· ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας,
καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων,
ἄγαν ἀποδέχου· μένε δ' ἐπὶ στρωτοῦ λέχους.
κἂν μὴ νοσῇς γάρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
κάματος βροτοῖσιν, ἀπορία δὲ γίγνεται.

3.

Polynices, der Sohn des Oedipus und der Jokaste, von seinem Bruder Eteokles des Antheils an der Herrschaft von Theben beraubt, kömmt sein Recht mit gewaffneter Hand zu suchen. Jokasta hat eine Zusammenkunft beyder Brüder veranstaltet, welche fruchtlos bleibt, und die gegenseitige Erbitterung noch vermehrt.

(Eurip. Phoenissae. V. 597 — 646.)

Trochäische Tetrameter.

Ἐτέοκλης. Μῆτερ, οὐ λόγων ἀγὼν ἔστ', ἀλλ' ἀνάλωται χρόνος
δὶς μέσῳ μάτην· περαίνει δ' οὐδὲν ἡ προθυμία.
οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως, ἢ 'πὶ τοῖς εἰρημένοις,
ὥστ' ἐμὲ, σκήπτρων κρατοῦντα, τῆσδ' ἄνακτ' εἶναι χθονός.
τῶν μακρῶν δ' ἀπαλλαγεῖσα νουθετημάτων μ' ἔα·

καὶ σὺ [1]) τῶν δ' ἔξω νομίζου τειχέων, ἢ κατθανεῖ.

Πολυνείκης. Πρὸς τίνος; τίς ὧδ' ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος
φόνιον ἐμβαλών, τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;

Ἑτ. ἐγγύς, οὐ πρόσω βεβηκώς· εἰς χέρας λεύσσεις ἐμάς;

Πο. εἰσορῶ· δειλὸν δ' ὁ πλοῦτος, καὶ φιλόψυχον κακόν.

Ἑτ. κἄτα σὺν πολλοῖσιν ἦλθες πρὸς τὸν οὐδὲν ἐς μάχην;

Πο. ἀσφαλὴς γάρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης.

Ἑτ. κομπὸς εἶ, σπουδαῖς πεποιθὼς αἵσε σώζουσιν θανεῖν.

Πο. καὶ σὲ δεύτερόν γ' ἀπαιτῶ σκῆπτρα καὶ μέρη χθονός.

Ἑτ. οὐκ ἀπαιτούμεσθ', ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.

Πο. τοῦ μέρους ἔχων τὸ πλεῖον; Ἑτ. Φήμ'· ἀπαλλάσσου δὲ γῆς.

Πο. ὦ θεῶν βωμοὶ πατρῴων. Ἑτ. οὓς σὺ πορθήσων πάρει.

Πο. κλύετέ μου; Ἑτ. τίς δ' ἂν κλύοι σου πατρίδ' ἐπεστρατευμένου;

Πο. καὶ θεῶν τῶν λευκοπώλων δώμαθ'· Ἑτ. οἳ στυγοῦσί σε.

Πο. ἐξελαυνόμεσθα πατρίδος. Ἑτ. καὶ γὰρ ἦλθες ἐξελῶν.

1) ὦ Πολύνεικες.

Πο. ἀδικίᾳ γ', ὦ θεοί. Ἐτ. Μυκήναις, [2]) μὴ' νθάδ' ἀνακάλει θεούς.

Πο. ἀνόσιος πέφυκας. Ἐτ. ἀλλ' οὐ πατρίδος, ὡς σύ, πολέμιος.

Πο. ὅς μ' ἄμοιρον ἐξελαύνεις· Ἐτ. καὶ κατακτενῶ γε πρός.

Πο. ὦ πάτερ, κλύεις ὃ πάσχω; Ἐτ. καὶ γὰρ οἷα δρᾷς κλύει.

Πο. καὶ σὺ, μῆτερ; Ἐτ. οὐ θέμις σοι μητρὸς ὀνομάζειν κάρα.

Πο. ὦ πόλις. Ἐτ. μολὼν ἐς Ἄργος, ἀνακάλει Λέρνης ὕδωρ.

Πο. εἶμι, μὴ πόνει· σὲ δ' αἰνῶ, μῆτερ. Ἐτ. ἔξιθι χθονός.

Πο. ἔξιμεν· πατέρα [3]) δέ μοι δὸς εἰσιδεῖν· Ἐτ. οὐκ ἂν τύχοις.

Πο. ἀλλὰ παρθένους ἀδελφάς· [4]) Ἐτ. οὐδὲ τάσδ' ὄψει ποτέ.

Πο. ὦ κασίγνηται. Ἐτ. τί ταύτας ἀνακαλεῖ; ἔχθιστος ὤν;

Πο. μῆτερ, ἀλλά μοι σὺ χαῖρε· Ἰοκάστη. χαρτὰ γοῦν πάσχω, τέκνον;

Πο. οὐκέτ' εἰμὶ παῖς σός. Ιο. εἰς πόλλ' ἀθλία πέφυκ' ἐγώ.

Πο. ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει. Ἐτ. καὶ γὰρ ἀνθυβρίζομαι.

2) Nach Argos war Polynices geflohen, als ihm sein Bruder die Rückkehr nach Theben versagte, und hatte dort beym König Adrastos Schutz und eine Gattinn gefunden. Mycenae steht als einer der Hauptorte des argivischen Reiches. 3) Oedipus lebte noch. 4) Antigone und Ismene.

Πο. ποῦ ποτε στήσει πρὸ πύργων; [5]) Ἐτ. ὡς τί μ' ἱστορεῖς τόδε;
Πο. ἀντιτάξομαι κτενῶν σε· Ἐτ. κἀμὲ τοῦδ' ἔρως ἔχει.
Ἰο. ὦ τάλαιν' ἐγώ, τί δράσετ', ὦ τέκν'; Πο. αὐτὸ σημανεῖ.
Ἰο. πατρὸς οὐ Φεύξεσθ' Ἐριννῦς; [6]) Ἐτ. ἐρρέτω πρόπας δόμος.
Πο. Ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.
τὴν δὲ θρέψασάν με γαῖαν, καὶ θεοὺς μαρτύρομαι,
ὡς ἄτιμος, οἰκτρὰ πάσχων, ἐξελαύνομαι χθονός,
δοῦλος ὡς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς.
κἄν τι σοί, πόλις γένηται, μὴ 'μὲ τόνδε δ' αἰτιῶ·
οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
καὶ σύ, Φοῖβ' ἄναξ ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,
ἡλικίες θ' οἱ 'μοί, θεῶν τε δεξίμηλ' ἀγάλματα·
οὐ γὰρ οἶδ' εἴ μοι προσειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτέ.

5) Das Heer der Fürsten, die den Polynices zurückführen und Eteocles vom Throne Thebens vertreiben wollten, stand vor der Stadt zum Angriff bereit.
6) Oedipus hatte gegen seine Söhne, da sie ihn eingeschlossen hielten, die Verwünschung ausgestofsen, dafs sie ihr Erbe mit dem Schwerde theilen sollten.

ἐλπίδες δ' οὔπω καθεύδουσ', οἷς πέποιθα σὺν
θεοῖς,
τόνδ' ἀποκτείνας, κρατήσειν τῆσδε Θηβαίας
χθονός.
Ἑτ. Ἔξιθ' ἑκ χώρας· ἀληθῶς δ' ὄνομα Πολυ-
νείκην πατὴρ
ἔθετό σοι θείᾳ προνοίᾳ, νεικέων ἐπώνυ-
μον.

4.

Elektra, die Tochter Agamemnons, klagt, daſs sie, nach dem Morde ihres Vaters, in dem Hause des Mörders die Schande ihrer Mutter sehen und die Rache vergebens erwarten müsse.

(Sophokles Elektra v. 86—120.)

Anapästen.

Ὦ φάος ἀγνὸν,
καὶ γῆς ἰσόμοιρος ἀήρ, ὥς μοι
πολλὰς μὲν θρήνων ᾠδάς,
πολλὰς δ' ἀντήρεις ἤσθου
στέρνων πληγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ παννυχίδων, ἤδη στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν [1])

1) bey Troja während des Krieges.

Φοίνιος Ἄρης οὐκ ἐξένισεν,
μήτηρ δ' ἡ 'μὴ χὼ κοινολεχὴς
Αἴγισθος, [2]) ὅπως δρῦν ὑλοτόμοι,
σχίζουσι κάρα Φονίῳ πελέκει.
κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
ἢ 'μοι Φέρεται, σοῦ, πάτερ, οὕτως
ἀϊκῶς οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων,
στυγερῶν τε γόων, ἔς τ' ἂν λεύσσω
παμφεγγεῖς ἄστρων ῥιπάς,
λεύσσω δ' ἦμαρ,
μὴ οὐ, [3]) τεκνολέτειρ' ὥς τις ἀηδών,
ἐπὶ κωκυτῷ, τῶνδε πατρώων
πρὸ θυρῶν, ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' Ἄϊδου καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' Ἀρά,
σεμναί τε θεῶν Ἐρινύες, αἳ τοὺς
ἀδίκως θνήσκοντας ὁρᾶτε,
καὶ τοὺς εὐνὰς ὑποκλεπτομένους
ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
φόνον ἡμετέρου,
καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν· [4])
μούνη γὰρ ἄγειν οὐκ ἔτι σωκῶ
λύπης ἀντίῤῥοπον ἄχθος.

2) Aegisthos hatte den Mord Agamemnons mit Klytaemnestern vollbracht, und sie nachher zum Weibe genommen. 3) μὴ οὐ hängt mit οὐ λήξω zusammen. 4) Orestes, welcher bey dem Morde Agamemnons von Elektren gerettet und aus dem Land entfernt worden war.

5.

Philoktet nimmt Abschied von Lemnos, wo er neun Jahre lang von Schmerzen gequält und einsam gelebt hat.

(Sophokl. Philokt. 1430 — 1446.)

Anapästen.

Φέρε νῦν στείχων, χώραν καλέσω.
χαῖρ', ὦ μέλαθρον [1]) ξύμφρουρον ἐμοί,
Νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου, προβλής θ',
οὗ πολλάκι δὴ ταὐμὸν ἐτέγχθην
κρᾶτ' ἐνδόμυχον πληγῇσι νότου,
πολλὰ δὲ Φωνῆς τῆς ἡμετέρας
Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.
νῦν δ' ὦ κρῆναι, γλύκιόν τε ποτόν,
λείπομεν ὕμας, λείπομεν ἤδη,
δόξης οὔ ποτε τῆς ἐπιβάντες.
χαῖρ', ὦ Λήμνου πέδον ἀμφίαλον,
καί μ' εὐπλοίᾳ πέμψον ἀμέμπτως,
ᾗνθ' [2]) ἡ μεγάλη μοῖρα κομίζει,
γνώμη τε Φίλων, χὠ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.

1) Die Höhle, in welcher sich Philoktet aufgehalten hat. 2) nach Troja, das, wie das Orakel sagte, nur durch ihn und die Pfeile des Herkules, in deren Besitz er war, erobert werden konnte.

6.

Ein Atheniensischer Bürger, Chremylus, hat dem Gott des Reichthums, Πλοῦτος, das Gesicht verschafft; die Göttinn der Armuth, Πενία, eilt herbey, um den Folgen dieser Neuerung vorzubeugen. Es entsteht zwischen ihr und dem Chremylus ein Streit über die Vorzüge des Reichthums und der Armuth.

(Aristophan. Plutus v. 489—578.)

Anapästische Tetrameter.

Χρεμύλος.

Φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν ὁμοίως,
ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστι δίκαιον·
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους, τούτων τἀναντία δήπου.
τοῦτ' οὖν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν ὥστε γενέσθαι,
βούλημα καλὸν καὶ γενναῖον, καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
ἦν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται κοὐκ ἀπολείψει·
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται· κἄτα ποιήσει

πάντας χρηστοὺς καὶ πλουτοῦντας δήπου, τὰ τε θεῖα σέβοντας.
καί τοι τούτου τοὺς ἀνθρώπους τίς ἂν ἐξεύροι ποτ' ἄμεινον;
ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,
